UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Scholia graeca in Aristophanem

### Dübner, Friedrich

### Parisiis, 1842

Ἀχαρνῆς

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5255

Visual Library

# ΑΧΑΡΝΗΣ.

ad Ar. 108-671: POxy VI 856 (1908), p. 156

## ΥΠΟΘΕΣΕΙΣ.

### I.

Ἐκκλησία ὑφέστηκεν Ἀθήνησιν ἐν τῷ φανερῷ, καθ' ἣν πολεμοποιοῦντας τοὺς ῥήτορας καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντας Δικαιόπολίς τις τῶν αὐτουργῶν ἐξελέγχων παρεισάγεται. τούτου δὲ διά τινος, Ἀμφιθέου καλουμένου, σπεισαμένου κατ' ἰδίαν τοῖς Λάκωσιν, Ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα προσέρχονται διώκοντες ἐν χοροῦ σχήματι· καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμένον τοῖς πολεμιωτάτοις καταλεύσειν ὁρμῶσιν. ὁ δὲ ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήσεσθαι, ἐφ' ᾧτε, ἂν μὴ πείσῃ τὰ δίκαια λέγων, τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς Εὐριπίδην αἰτεῖ πτωχικὴν στολήν. καὶ στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι παρῳδεῖ τὸν ἐκείνου λόγον, οὐκ ἀχαρίτως καθαπτόμενος Περικλέους περὶ τοῦ Μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δέ τινων ἐξ αὐτῶν ἐπὶ τῷ δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις, εἶτα ἐπιφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια αὐτοῦ εἰρηκότος, ἐπιφανεὶς Λάμαχος θορυβεῖν πειρᾶται. εἶτα γενομένου διελκυσμοῦ κατενεχθεὶς ὁ χορὸς ἀπολύει τὸν Δικαιόπολιν καὶ πρὸς τοὺς δικαστὰς διαλέγεται περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν. τοῦ δὲ Δικαιοπόλιδος ἄγοντος καθ' ἑαυτὸν εἰρήνην τὸ μὲν πρῶτον Μεγαρικός τις παιδία ἑαυτοῦ διεσκευασμένα εἰς χοιρίδια φέρων ἐν σάκκῳ πράσιμα παραγίνεται· μετὰ τοῦτον ἐκ Βοιωτῶν ἕτερος ἐγχέλεις τε καὶ παντοδαπῶν ὀρνίθων γόνον ἀνατιθέμενος εἰς τὴν ἀγοράν. οἷς ἐπιφανέντων τινῶν συκοφαντῶν συλλαβόμενός τινα ἐξ αὐτῶν ὁ Δικαιόπολις καὶ βαλὼν εἰς σάκκον, τοῦτον τῷ Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τῶν Ἀθηνῶν παραδίδωσι, καὶ προσαγόντων αὐτῷ πλειόνων καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν, καθυπερηφανεῖ. παροικοῦντος δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν Χοῶν ἑορτῆς, τοῦτον μὲν ἄγγελος παρὰ τῶν στρατηγῶν ἥκων κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων τὰς εἰσβολὰς τηρεῖν· τὸν δὲ Δικαιόπολιν παρὰ τοῦ Διονύσου τοῦ ἱερέως τις καλῶν ἐπὶ δεῖπνον ἔρχεται. καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κακῶς ἀπαλλάττων ἐπανήκει, ὁ δὲ Δικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων. Τὸ δὲ δρᾶμα τῶν εὖ σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προκαλούμενον. ἐδιδάχθη ἐπὶ Εὐθυδήμου [l. Εὐθύνου] ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου· καὶ πρῶτος ἦν· δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζονται. τρίτος Εὔπολις Νουμηνίαις.

### II.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ

### ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἐκκλησίας οὔσης παραγίνονταί τινες
πρέσβεις παρὰ Περσῶν καὶ παρὰ Σιτάλκους πάλιν,
οἱ μὲν στρατιὰν ἄγοντες, οἱ δὲ χρυσίον·
παρὰ τῶν Λακεδαιμονίων δὲ μετὰ τούτους τινὲς
σπονδὰς φέροντες, οὓς Ἀχαρνεῖς οὐδαμῶς
εἴασαν, ἀλλ' ἐξέβαλον, ὧν καθάπτεται
σκληρῶς ὁ ποιητής. (αὐτὸ τὸ ψήφισμά τε
Μεγαρικὸν ἱκανῶς φησι, καὶ τὸν Περικλέα
οὐχ τῶν Λακώνων τῶνδε πάντων αἴτιον,
σπονδὰς λύσιν τε τῶν ἐφεστώτων κακῶν.)

## SCHOLIA IN ACHARNENSES.

(Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σα΄, ὧν τελευταῖος, Ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας. ὁ μέντοι μγ΄ κομμάτιον ἀπ' ἐλάσσονος καὶ ρκα΄ πενθημιμερής. ὁ δὲ ξ΄ ἐφθημιμερής. ἐξαιρείσθωσαν καὶ αἱ παρεπιγραφαί. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνίς.)

1. Ὅσα δὴ δέδηγμαι: Θαυμαστικὸν τὸ ὅσα, ἀντὶ τοῦ πολλά. ὁ δὲ δή συμπαραπληρωματικὸς αὔξησιν δηλοῖ. (ἐχρήσατο δὲ αὐτῷ καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ [I, 1] « κίνησις γὰρ αὕτη δὴ μεγίστη. ») δύναται δὲ λείπειν ἡ κατὰ πρόθεσις, ἵν' ᾖ, κατὰ τὴν ἐμαυτοῦ καρδίαν· ὃ καὶ βέλτιον. μεταφέρει δὲ ἀπὸ τοῦ βίου ἐπὶ τὴν καρδίαν. ἀντὶ γὰρ τοῦ εἰπεῖν κατὰ τὴν ἐμαυτοῦ ζωήν, κατὰ τὴν ἐμαυτοῦ καρδίαν φησί. δέδηγμαι δὲ ἀντὶ τοῦ ἠνίαμαι, λελύπημαι. καὶ Ὅμηρος [Il. E, 493] « δάκε δὲ φρένας Ἕκτορι μῦθος. » καὶ θυμοδακὴς μῦθος. Ἄλλως. καλῶς ἔφη, δέδηγμαι τὴν καρδίαν, παρόσον περὶ τὴν καρδίαν συνίσταται τὰ

τοῦ θυμοῦ καὶ τὰ τῆς ἡδονῆς· ὡς καὶ παρ' Ὁμήρῳ Ὀδυσσεὺς θυμούμενος κατὰ τῶν μνηστήρων [Od. Υ, 17]

στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δὴ κραδίη,

φάσκων. — δέδηγμαι τὴν : Κατὰ τήν. *Vict.*

3. (ψαμμακοσιογάργαρα : Οἷον πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμακόσια καθ' ἑαυτὸ ἐπὶ πλήθους ἐτίθετο. παρὰ μὲν Εὐπόλιδι ἐν Χρυσῷ γένει οὕτως « ἀριθμεῖν θεατὰς ψαμμακοσίους. » παρὰ τὸ ἑξακοσίους ἢ ἑπτακοσίους, ἀπὸ τῆς ψάμμου ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο· ὡς ἐν Λημνίαις

ἀνδρῶν ἐπακτῶν πᾶσ' ἐγάργαιρ' ἑστία.

καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς « ἔνδον γὰρ ἡμῖν γάργαρα. » καὶ παρὰ Σώφρονι « ἁ δὲ οἰκία τῶν ἀργυρωμάτων γάργαιρε. » καὶ ἐν τῇ τραγῳδίᾳ « χρημάτων τε γάργαρα. » θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ ποιητῇ [Il. Υ, 157] « κάρκαιρε δὲ γαῖα πόδεσσι » τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνειν, οἷον γάργαιρε, καὶ τὸν καρκίνον δὲ οὕτως ὀνομάζεσθαι διὰ τὸ πλῆθος τῶν ποδῶν. Ἄλλως.) ἀπὸ δύο λέξεων τὸ σύνθετον ἐγένετο δηλουσῶν πολλά. σύγκειται γὰρ ἀπὸ τοῦ τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι. ὁ γὰρ Πύθιος [ἡ Πυθίη, Herodot. I, 47] νεανιεύεται τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι αὐχῶν ἐν οἷς λέγει

οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης.

(καὶ Εὔπολις ἐπεσημήνατο τὴν λέξιν εἰπὼν « ἀριθμεῖν θεατὰς ψαμμακοσίους. ») δύναται δὲ ἐγκεῖσθαι τῇ λέξει τὰ κόσια, ἥτις ἐστὶ κατάληξις τῶν μετὰ τὸν ἑκατὸν ἀριθμῶν μέχρι τῶν χιλίων· ὃς πλήθους ἐστὶ πολλοῦ σημαντικὸς, οἷον διακόσια, τριακόσια, καὶ τὰ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθους λαμβάνεται διὰ τὴν συγγένειαν τοῦ γ τὴν πρὸς τὸ κ. (εἴρηται δὲ ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα. τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ἐστὶ « κάρκαιρε δὲ γαῖα πόδεσσι. » μέμνηται δὲ καὶ Κρατῖνος

ἀνδρῶν ἀρίστων πᾶσα γαργαίρει πόλις.

οἷον πλήθει.)

4. ἄξιον χαιρηδόνος : Ἀντὶ τοῦ χαρᾶς. (τῷ τόνῳ δὲ ὡς ἀλγηδόνος.) ὡς γὰρ ἀπὸ τοῦ ἀλγήσω μέλλοντος ἀλγηδὼν ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρήσω χαιρηδὼν χαιρηδόνος.

5. (τὸ κέαρ ηὐφράνθην : Σαφῶς Ἀριστοφάνης τὴν καρδίαν εἶπε κέαρ. ἄνω γὰρ εἰπὼν

ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν·

νῦν φησιν « ἐφ' ᾧ τὸ κέαρ εὐφράνθην. »)

6. τοῖς πέντε ταλάντοις : Ἀπλήστως ἀλλότρια καταφαγὼν, ἐξήμεσεν αὐτά. (ἀντὶ τοῦ κλέψας καὶ καταπιὼν ἀπέδωκεν.) ἐζημιώθη γὰρ ὁ Κλέων πέντε τάλαντα διὰ τὸ ὑβρίζειν τοὺς ἱππέας. Παρὰ τῶν νησιωτῶν ἔλαβε πέντε τάλαντα ὁ Κλέων, ἵνα πείσῃ τοὺς Ἀθηναίους κουφίσαι αὐτοὺς τῆς εἰσφορᾶς. αἰσθόμενοι δὲ οἱ ἱππεῖς ἀντέλεγον καὶ ἀπήτησαν αὐτόν. μέμνηται Θεόπομπος.

7. ταῦθ' ὡς ἐγανώθην : Ἀντὶ τοῦ ἐχάρην, ἐφαιδρύνθην. ἀπὸ τοῦ γάνυμαι. Ὅμηρος [Il. N, 493] « γάνυται δέ τε φρένα ποιμήν. » ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων.

8. (ἄξιον γὰρ Ἑλλάδι : Τοῦτο παρῳδία καλεῖται, ὅτ' ἂν ἐκ τραγῳδίας μετενεχθῇ. ἔστι δὲ τὸ ἡμιστίχιον ἐκ Τηλέφου Εὐριπίδου, ἔχον οὕτως,

κακῶς ὄλοιτ' ἄν· ἄξιον γὰρ Ἑλλάδι.

εἰς τὸ δρᾶμα οὖν τῶν ἱππέων ἀποτείνεται. διὰ τούτου γὰρ φαίνεται καταδικασθεὶς ὁ Κλέων τάλαντα ε'.) ἄξιον οὖν φησιν Ἑλλάδος τὸ καταδικασθῆναι τὸν Κλέωνα.

9. τραγῳδικόν : (Ἀντὶ τοῦ ἐμπαθές.) ἐπείπερ καὶ ἡ τραγῳδία ἐμπαθῶν πραγμάτων ἀπαγγελτική. (ἢ ἐπεὶ περὶ τραγῳδιῶν μέλλει λέγειν.)

10. ὅτε δὴ κεχήνη : Ἡ συναίρεσις τοῦ κεχήνη Ἀττική. τὸ γὰρ ε καὶ α εἰς η συναιροῦσιν. Εἰς τὸ αὐτό. συναλοιφὴ, ἀντὶ τοῦ κεχήνεα. ἔστι δὲ τὸ κεχήνη Ἰακόν. οἱ γὰρ Ἴωνες ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἄρχονται. οἱ δὲ σφόδρα προσέχοντές τινι κεχήνασι. δύναται δὲ εἶναι κατὰ μεταφορὰν τῶν ὀρνίθων τῶν ἔτι νεοττῶν τὴν τροφὴν προσδεχομένων καὶ κεχηνότων. (οἷον τροφή μοι ἦν τῶν Αἰσχύλου τραγῳδιῶν ἀκοῦσαι.)

προσδοκῶν τὸν Αἰσχύλον : Ἀντὶ τοῦ Αἰσχύλου τραγῳδίας, ὥσπερ καὶ ἡμεῖς ἔχοντες τὰ Αἰσχύλου Αἰσχύλον λέγομεν ἔχειν. (οὐ γὰρ ἔζη κατ' ἐκεῖνον τὸν χρόνον. ἐτελεύτησε γὰρ ἐπὶ ἄρχοντος Καλλίου τοῦ μετὰ Μνησίθεον τούτων πρότερον ἐνιαυτῷ λ'.) τιμῆς δὲ μεγίστης ἔτυχε παρὰ Ἀθηναίοις ὁ Αἰσχύλος, καὶ μόνου αὐτοῦ τὰ δράματα ψηφίσματι κοινῷ καὶ μετὰ θάνατον ἐδιδάσκετο.

11. ὁ δ' ἀνεῖπ' εἴσαγε : Ἀνηγόρευσεν. ὁ κῆρυξ δὲ δηλονότι. Θέογνις δὲ οὗτος τραγῳδίας ποιητὴς πάνυ ψυχρὸς, ἐκ τῶν τριάκοντα, ὃς καὶ Χιὼν ἐλέγετο.

12. πῶς τοῦτ' ἔσεισέ μου : εὔσειστον οὖσαν τῇ φύσει, μᾶλλον ἐπέσεισε. (κέχρηται δὲ τῇ ὑπερβολῇ τῇ ἐπὶ τῆς καρδίας καὶ Θουκυδίδης τὸ ὄνομα φράζων.)

13. ἡνίκ' ἐπὶ Μόσχῳ ποτέ : Ἀντὶ τοῦ μετὰ τὸν Μόσχον. ἦν δὲ οὗτος φαῦλος κιθαρῳδὸς, πολλὰ ἀπνευστὶ ᾄδων. (Εἰς τὸ αὐτό. ὁ Μόσχος κιθαρῳδὸς Ἀκραγαντῖνος. τινὲς οὕτως, ὅτι ὁ νικήσας ἆθλον ἐλάμβανε μόσχον. τὸ δὲ Βοιώτιον μέλος οὕτω καλούμενον, ὅπερ εὗρε Τέρπανδρος, ὥσπερ καὶ τὸ Φρύγιον.) ὁ δὲ Δεξίθεος ἄριστος κιθαρῳδὸς καὶ Πυθιονίκης. οἱ δὲ ψυχρὸν αὐτὸν εἶναί φασιν.

15. τῆτες δ' ἀπέθανον : Ἐπὶ ἔτος, ὅπερ οἱ Δωριεῖς τᾶτες λέγουσιν. Εἰς τὸ αὐτό. ἀντὶ τοῦ ἐπ' ἔτος. οἱ Δωριεῖς δὲ διὰ τοῦ δ λέγουσι τῆδες.

16. ὅτε δὴ παρέκυψε Χαῖρις : (Καλῶς τὸ παρέκυψεν.) ὁ δὲ Χαῖρις οὗτος κιθαρῳδὸς καὶ αὐλῳδὸς φαῦλος. ὁ δὲ ὄρθιος αὐλητικὸς νόμος, οὕτω καλούμενος διὰ τὸ εἶναι εὔτονος καὶ ἀνάτασιν ἔχειν, ὡς δηλοῖ καὶ Ὅμηρος [Il. Λ, 10]

ἔνθα στᾶσ' ἤϋσε θεὰ μέγα τε δεινόν τε
ὄρθι'· Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ.

17. ἐξότου 'γὼ ῥύπτομαι : Ἀντὶ τοῦ σμήχομαι, τουτέστι ζῶ, μεταφορικῶς. τῷ γὰρ ζῶντι ἕπεται τὸ ῥύπτεσθαι. (ῥύμματα γὰρ τὰ σμήγματα. καὶ Ὅμηρος [Il. Ξ, 171] « ῥύμματα πάντα κάθηρεν. » ῥύπτεσθαι οὖν τὸ σμᾶσθαι, παρεμπτώσει τοῦ τ, τὸ ῥύπον ἀφαιρεῖσθαι. ὁ δὲ ῥύπος κατὰ ἀφαίρεσιν τοῦ χ, χρύπος, ὁ τῷ χρωτὶ ὑπὼν σπίλος.)

18. ὑπὸ κονίας : Παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν, (ὑπὸ λύπης τὴν καρδίαν, ὡς καὶ ἐν ἀρχῇ ἔφη, ὑπὸ κονίας τὰς ὀφρῦς εἶπεν,) ὅτι καὶ οἱ κονίαν (ἤτοι ἄσβεστον) σμώμενοι δάκνονται τὴν ὀφρῦν. (Ἄλλως. ὑπερβατόν.

ἀλλ' οὐδεπώποτ' ἐξότου 'γὼ ῥύπτομαι,
οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς.)

19. κυρίας ἐκκλησίας : Ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα. εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι αἱ λεγόμεναι κύριαι τρεῖς τοῦ μηνὸς Ἀθήνησιν, ἡ πρώτη καὶ ἡ δεκάτη καὶ ἡ τριακάς. εἰσὶ δὲ καὶ πρόσκλητοι συναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι ἐκκλησίαι κύριαι λέγονται, ὡς ἔφαμεν, αἱ δὲ πρὸς τὸ κατεπεῖγον συναγόμεναι σύγκλητοι.

20. ἡ πνὺξ αὑτηί : Ἡ ἐκκλησία· παρὰ τὴν τῶν λίθων πυκνότητα. (ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ, ὡς αὐτὸς ἐν Σφηξὶν [31] « ἔδοξέ μοι παραποιῶν τὴν ὥραν ἐν τῇ πυκνί. »)

21. οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι : Διάφορα δηλοῖ ἡ λέξις. νῦν δὲ τὴν ἐκκλησίαν, ὅθεν ὁ Νέστωρ ἀγορητής· καὶ τὸν τόπον ἔνθα πιπράσκεται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια σημαίνει.

22. τὸ σχοινίον φεύγουσιν : (Ὑπὲρ τοῦ ἐξ ἀνάγκης αὐτοὺς εἰς τὰς ἐκκλησίας συνιέναι τοῦτο ἐμηχανῶντο καὶ πολλὰ ἄλλα. ἀνεπετάννυσαν γὰρ τὰ γέρρα καὶ ἀπέκλειον τὰς ὁδοὺς τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς, ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν· ἔτι μὴν καὶ) μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς συνήλαυνον εἰς τὴν ἐκκλησίαν. τοῦτο δὲ ἐποίουν ὑπὲρ τοῦ μὴ βραδῦναι. ὅσοι γὰρ ἐχρίοντο ζημίαν ἐξέτινον. (Ἄλλως. ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον [τουτέστι μίλτῳ ἤτοι βάμματι κοκκίνῳ] σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. ὅσοι δὲ ἐχρίοντο ἐξέτινον ζημίαν.)

23. ἀλλ' ἀωρίαν ἥκοντες : (Ἀντὶ τοῦ) ἀωρίᾳ (καὶ μεθ' ἡμέραν καὶ ἐπὶ τοιούτῳ. ὁ δὲ νοῦς,) ἀκαίρως καὶ παρὰ τὸν (δέοντα) καιρόν. ἄωρα γὰρ τὰ παρὰ καιρὸν τρυγώμενα.

24. ὠστιοῦνται : Διωθήσονται. ἀπὸ ἐνεστῶτος τοῦ ὠστίζω. ὁ δὲ λόγος ὡς πρός τινα ἐστὶ λεγόμενος, ὡς καὶ Ὅμηρος [Il. O, 697] « φαίης κ' ἀκμῆτας καὶ ἀτει- « ρέας. » (καὶ [Il. Δ, 223] « ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις. »)

25. ἐλθόντες ἀλλήλοισι περὶ πρώτου : Περὶ τῆς προεδρίας. ὡς ξυλίνων οὐσῶν τῶν καθεδρῶν. (ὅτι δὲ ἐκ λίθων, πανταχόθεν δῆλον, ὅταν λέγῃ [Eq. 754, 783], ἐπὶ τῆς πέτρας κάθηνται.)

26. ἄθροοι καταρρέοντες : (Ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα καὶ δασύνειν τὴν πρώτην συλλαβὴν Ἀττικῶς. καταρρέοντες δὲ) ἀντὶ τοῦ ἀθρόως ἐπερχόμενοι. ἡ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων. καὶ Ὅμηρος [Il. Λ, 724] « τὰ δ' ἐπέρρεεν ἔθνεα πεζῶν. »

29. (νοστῶν κάθημαι : Ἁπλῶς ἐπὶ τοῦ ἐρχόμενος καὶ ἐπανερχόμενος.)

30. στένω, κέχηνα : (Πάλιν τὸ κέχνηα ἐν ἴσῳ τῷ προσδέχομαι, ἢ δέομαι τῆς εἰρήνης· ὥσπερ οἱ νεοσσοὶ κεχήνασι δεόμενοι τῆς τροφῆς. τὸ δὲ σκορδινῶμαι ἀντὶ τοῦ κλῶμαι καὶ σπασμῷ συνέχομαι. οἱ γὰρ ἀπὸ πληθώρας σκορόδων ἐμοῦντες διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. τὸ δὲ ἐμεῖν καὶ τὸ ὁπωσοῦν κενοῦσθαι. σκορδινᾶσθαί φασι) κυρίως ἐπὶ τῶν κυνῶν τῶν ἐξ ὕπνου ἀνισταμένων, ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσι. σκορδινᾶσθαι οὖν ἐστι τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. γίνεται δὲ ἀπὸ ἀλογίας τὸ τοιοῦτον.

31. γράφω, παρατίλλομαι : (Γράφω μὲν, καταγράφω, ἢ) ζωγραφῶ ἐπὶ τῆς γῆς, ξύων τῷ δακτύλῳ (ἤ τινι τοιούτῳ παιδιάς τινας.) παρατίλλομαι δὲ, τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας, ἢ τῶν μασχαλῶν. ταῦτα δὲ ποιοῦσιν οἱ προσδεχόμενοι μέν τι καὶ τὸν χρόνον δαπανῶντες ὑπὸ ἀδημονίας (Ald. εἰς ἀπορίαν καὶ ἀμηχανίαν, μὴ τυγχάνοντες τοῦ προσδοκωμένου λογισμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν διατίθενται, ἀλύοντες ἐπὶ γῆς διαγράφουσιν).

32. ἀποβλέπων εἰς τὸν ἀγρόν : Οἱ γὰρ (πολιορκούμενοι καὶ) πολεμούμενοι ἀεὶ εἰς τὸν ἀγρὸν ἀποβλέπουσιν (ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι).

33. (στυγῶν μὲν ἄστυ : Ὁ στίχος ἐκ τραγῳδίας:)

34. ἄνθρακας πρίω : Τοῦτο Ἀχαρνέων ἴδιον. οὗτοι δὲ πολυάνθρακες καὶ οὐ δεόμενοι παρ' ἄλλων πρίασθαι.

35. οὐδ' ᾔδει πρίω : Οὐδὲ ἐγίνωσκε τὸ πρίω ῥῆμα. οὐ γὰρ ἐδεῖτο ἀγοράσαι ἔχων οἴκοι.

36. χὼ πρίων ἀπῆν : τοῦτο παιδιὰ καλεῖται. ἀπὸ γὰρ τοῦ πρίω ῥήματος ὄνομα τὸ πρίων. R.

37. ἀτεχνῶς : ἀφελῶς. R.

38. ὑποκρούειν : Βοᾶν, ἀντιφθέγγεσθαι, ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε. τὸ δὲ ὑποκρούειν ἐπὶ τῶν θορυβούντων λέγεται, (ὅπερ ἡμεῖς φαμὲν ἐκκρούειν καὶ κωλύειν. τὸ δὲ λοιδορεῖν, ἄμφω ῥητέον, καὶ λοιδορεῖν καὶ λοιδορεῖσθαι.)

40. οὑτοιί : Δεικτικῶς. (μεσημβρινοὶ δὲ,) οὐκ ὀρθρίσαντες.

42. ὠστίζεται : συνωθεῖ, συνθλίβεται. R. θλίβεται. *Vict.*

44. ὡς ἂν ἐντὸς ἦτε : Εἰώθασιν οἱ Ἀθηναῖοι θύειν δέλφακα καὶ ῥαίνειν τὰς καθέδρας τῷ αἵματι αὐτοῦ εἰς τιμὴν τῆς Δήμητρος, ἐπειδὴ τοὺς καρποὺς αὐτῆς βλά-

πτει. Ἄλλως. ὅτι καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ χοίρου σφαζομένου καὶ ὁ ῥήτωρ μαρτυρεῖ [Æschin. p. 4, 10] « (ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καὶ ὁ κῆρυξ « τὰς πατρίους εὐχὰς εὔξηται, τότε δὴ κελεύει δημηγο- « ρεῖν. ») τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων κάθαρμα ἐκαλεῖτο, ὁ δὲ περικαθαίρων καθαρτής. (Καὶ παρὰ μὲν τοῖς κωμικοῖς κάθαρμα καλεῖται. Αἰσχίνης δὲ ἐν τῷ κατὰ Τιμάρχου [l. c.] καθάρσιον καλεῖ.)

47. ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν : Ἱερεὺς Δήμητρος καὶ Τριπτολέμου ὁ Ἀμφίθεος. πέπαικται κωμικῶς ταῦτα. Κελεοῦ γὰρ Τριπτόλεμος. ταῦτα δὲ λέγει ἐν παιδιᾷ, σκώπτων τὸν Εὐριπίδην, ἀεὶ ἡδέως ἀπαγγέλλοντα τὰ γένη ἐν ἄλλοις τε καὶ καταρχὰς τῆς ἐν Ταύροις Ἰφιγενείας·

Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις Οἰνομάου γαμεῖ κόρην·
ἐξ ἧς Ἀτρεὺς ἔϐλαστεν· Ἀτρέως δὲ παῖς
Μενέλαος Ἀγαμέμνων τε. τοῦ δ' ἔφυν ἐγώ.

τοῦ δὲ Κελεοῦ μέμνηται Βακχυλίδης διὰ τῶν Ὕμνων. Ἄλλως.) τὸν πρόπαππον ἑαυτοῦ λέγει, ὃς Ἀμφίθεος ὁμωνύμως ἐκαλεῖτο.

49. τήθην ἐμήν : Τήθας ἐκάλουν τὰς μάμμας, (καὶ τηθελὰς τὰς μαμμοθρέπτους).

52. σπονδὰς ποιεῖσθαι : Οὗτος γὰρ ὁ σκοπὸς τοῦ δράματος, ὥστε σπονδὰς ποιῆσαι πρὸς Λακεδαιμονίους.

53. ἐφόδι' οὐκ ἔχω : Ὅτι ἐκ τοῦ πολέμου πένης εἰμὶ (καὶ ἐφόδια οὐκ ἔχω).

διὸ εἰρήνης ἐπιθυμῶ. R. *Vict.*

54. οἱ τοξόται : Τοῦτό φησιν εἷς τῶν πρυτάνεων, κελεύων ἐκϐαλεῖν τὸν Ἀμφίθεον ὡς ὑϐριστήν. (Ἄλλως. τοῦτο ἐκ τῶν πρυτάνεων τίς φησι, κελεύων ἀπελαύνειν τὸν Ἀμφίθεον. εἰσὶ δὲ οἱ τοξόται δημόσιοι ὑπηρέται, φύλακες τοῦ ἄστεος, τὸν ἀριθμὸν χίλιοι, οἵτινες πρότερον μὲν ᾤκουν τὴν ἀγορὰν μέσην σκηνοποιησάμενοι, ὕστερον δὲ μετέϐησαν εἰς Ἄρειον πάγον. ἐκαλοῦντο οὗτοι καὶ Σκύθαι καὶ Πευσίνιοι, Πευσῖνος τινὸς τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτούς.)

55. ὦ Τριπτόλεμε : Τοὺς ἑαυτοῦ προγόνους ἐπικούρους ὥσπερ καὶ συμμάχους ἐπικαλεῖται. Ἀπάγοντες δὲ, ἀπωθοῦντες, ἀπελαύνοντες.

58. καὶ κρεμάσαι : Ἐν γὰρ τῇ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες.

60. ἢν μὴ περὶ εἰρήνης πρυτανεύσητε : (Ἀντὶ τοῦ χρηματίσητε,) σκέψησθε, πράξητε. πάντα γὰρ ἀπὸ τῶν πρυτάνεων διεπράττετο. (ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης [p. 191, 15].)

61. οἱ παρὰ βασιλέως : οὕτως ὁ Περσῶν βασιλεὺς κατ' ἐξοχήν. τοὺς δὲ ἄλλους ἔλεγον, προστιθέντες τῶν ἀρχομένων τὰ ὀνόματα, οἷον βασιλεὺς Λακεδαιμονίων, βασιλεὺς Μακεδόνων. (διαφορὰ δέ ἐστι βασιλέως καὶ τυράννου. βασιλεὺς μὲν γὰρ ἐκ προγόνων κατὰ διαδοχὴν ἔχει τὴν ἀρχὴν ἐπὶ ῥητοῖς λαϐὼν γέρασι. τύραννος δὲ τὸ ἄρχειν βιαίως σφετερίζεται. χρῶνται δὲ ἀδιαφόρως ἔνιοι τοῖς ὀνόμασι. Ἱέρωνα μὲν βασιλέα Πίνδαρος [Ol. 1, 34] καλεῖ, τὸν Συρακουσίων τύραννον. Εὔπολις δὲ ἐν Δήμοις εἰσάγει τὸν Πεισίστρατον βασιλέα. ἀλλὰ καὶ τοὺς βασιλεῖς πολλάκις τυράννους λέγουσι. πρέσϐεις δὲ οὗτοι εἰσὶν οἱ περὶ τὸν Μόρυχον ἐμπλησθέντες τρυφῆς.)

63. καὶ τοῖς ταῶσι : Τοῖς κόλποις τοῖς πεποικιλμένοις· ἐπεὶ ὁ ταὼς ποικίλος. (ἢ ὅτι πορφύρας ἔχουσι καὶ τιάρας, ὡς αὐτός φησι. τιάραι δέ εἰσι περικεφαλαῖαι Περσικαὶ ταῶνος πτερὰ ἔχουσαι.) ἢ ὅτι ἥκοντες ἀπὸ Περσίδος ταὼς ἔχοντες ἐληλύθασιν.

64. ὦ 'κϐάτανα : Ἐξίασι γὰρ οἱ πρέσϐεις κεκαλλωπισμένοι (ὡς ἀπὸ Ἐκϐατάνων), ἥτις ἐστὶ Περσικὴ πόλις.

66. ἐπέμψαθ' ἡμᾶς : Διὰ τούτων παρίστησι τὴν τῶν Ἀθηναίων μαλακίαν, ἄλλως ἀναλισκόντων τοὺς χρόνους ἕνεκα κέρδους. Πρὸ δώδεκα ἐτῶν ἦρχεν ὁ Εὐθυμένης Ἀθήνησι. καθάπτεται γὰρ τῶν πρεσϐευτῶν ὡς ἐπίτηδες χρονοτριϐούντων ἐν ταῖς πρεσϐείαις, ὑπὲρ τοῦ πλείονα μισθὸν λαμϐάνειν.

67. ἐπ' Εὐθυμένους ἄρχοντος : Οὗτος ὁ ἄρχων, ἐφ' οὗ κατελύθη τὸ ψήφισμα τὸ περὶ τοῦ μὴ κωμῳδεῖν, γραφὲν ἐπὶ Μορυχίδου. ἴσχυσε δὲ (ἐκεῖνόν τε τὸν ἐνιαυτὸν καὶ δύο τοὺς ἑξῆς) ἐπὶ Γλαυκίνου τε καὶ Θεοδώρου, μεθ' οὓς ἐπ' Εὐθυμένους κατελύθη.

68. διὰ τῶν Καϋστρίων : Καΰστριος ποταμὸς τῆς Λυδίας περὶ Μίλητον, πλησίον Λυδίας, παρ' ᾧ καὶ ὁ Ἄσιος λειμών. ἔνθα καὶ χῆνες εἰσὶ πολλοὶ διαιτώμενοι. καὶ Ὅμηρος [Il. B, 460]

χηνῶν, ἢ γεράνων, (ἢ κύκνων δουλιχοδείρων,
Ἀσίῳ ἐν λειμῶνι, Καϋστρίου ἀμφὶ ῥέεθρα.

γενικὴ δέ ἐστι τὸ Ἀσίω.)

69. ἐσκηνημένοι : Κέκλιται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. εἰ γὰρ ἦν ἀπὸ τῆς τρίτης, ἦν ἂν διὰ τοῦ ω, ὡς κεχρυσωμένοι.

71. σφόδρα γὰρ ἐσωζόμην : Ἐκ τοῦ ἐναντίου ἀπήντησεν ἀγανακτῶν. εἰ γὰρ ὑμεῖς ἀπόλλυσθε οὕτω διάγοντες, ἐσωζόμην ἄρα ἐγὼ πολιορκούμενος ὑπὸ Λακεδαιμονίων, κατακείμενος καὶ καθεύδων ἐν τῷ τείχει ἐπὶ φρυγάνων καὶ καλάμης καὶ συρφετῶν. τὸ οὖν ἐσωζόμην ἐν εἰρωνείᾳ λέγει.

72. ἔπαλξιν : Προμαχῶνα τῶν τειχῶν. φορυτῷ : Φορυτὸς, φρύγανα ἄχυρα, καὶ ἀπὸ γῆς αἰρόμενος ὑπὸ ἀνέμου χόρτος. *Vict.* φορυτὸς ψιαθῶδές τι πλέγμα, ἐν ᾧ τοὺς στάχυας ἐμϐάλλουσιν. ἢ φορυτῷ τῇ ἐκ φρυγάνων στρωμνῇ. (74) χρυσίδων, χρυσῶν φιαλῶν. R.

73. (ξενιζόμενοι δέ : Προτρεπόμενοι εἰς τὰ ξένα βρώματα τοῦ βασιλέως τῶν Περσῶν.)

75. ὦ Κραναὰ πόλις : (Τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει.) λέγει δὲ Κραναὰς τὰς Ἀθήνας, ἤτοι τὰς τραχείας

(λεπτόγεως γὰρ ἡ Ἀττική·) ἢ ἀπὸ Κραναοῦ τινὸς, (ὃς ἦν τῶν αὐτοχθόνων εἷς).

77. οἱ βάρβαροι γὰρ ἄνδρας : Ἄνδρας νῦν ἀντὶ τοῦ ἀνδρείους καὶ γεννάδας.

78. (καταφαγεῖν : Ἐμφαντικῶς ἡ κατὰ ὥσπερ καὶ τὸ ἐμφαγεῖν. (79) λαικαστὰς δὲ τοὺς πόρνους. καὶ ἀλλαχοῦ [Thesm. 52]

κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν,
γογγυλίζει καὶ λαικάζει.

καὶ λαικάστρια ἡ πόρνη.)

81. ἀλλ' εἰς ἀπόπατον : Ἀπόπατος λέγεται τῆς ἐκδεδιῃτημένης τροφῆς ἡ ἄφοδος, παρὰ τὸ παρεκτρέπεσθαι τῆς ὁδοῦ· πάτος γὰρ ἡ κοινὴ ὁδός. Καὶ Ὅμηρος [Il. Z, 202] « πάτον ἀνθρώπων ἀλεείνων. » ἀντὶ δὲ τοῦ εἰπεῖν, ἐπὶ πόλεμον ᾤχετο, ἔφη, εἰς ἀπόπατον ᾤχετο.

82. ἐπὶ χρυσῶν ὄρων : Παρόσον ἱστόρηται ὁ Περσῶν βασιλεὺς ὑπὸ χρυσῆν πλάτανον καθεζόμενος, ἔπαιξεν εἰπὼν, ἐπὶ χρυσῶν ὄρων. ὄρος δὲ ἡ ἀμίς. ἢ διὰ τὰ ἐν Περσίδι χρυσοῦ μέταλλα. (Ἄλλως. δύο ταῦτα ἐδήλωσε διὰ τοῦ εἰπεῖν ἐπὶ χρυσῶν ὄρων, τά τε οὐροδόχα ἀγγεῖα, ἃ φασὶν ἀμίδας, καὶ τὰ τῆς Περσίδος ὄρια, ἐν οἷς φασι γίγνεσθαι τὸν χρυσόν. ὅθεν ἱστοροῦσι τὸν Ξέρξην ὑπὸ χρυσῆν πλάτανον καθεύδειν, ὅτε κατὰ τῶν Ἀθηναίων ἐστράτευσεν. ἀντὶ δὲ τοῦ εἰπεῖν, πόσου χρόνου συνήγαγε τὸν στρατὸν, τὸν πρωκτὸν εἶπε.)

83. ξυνήγαγεν : Συνήρμοσεν. R. *Vict.*

84. τῇ πανσελήνῳ : Οἱ γὰρ Ἕλληνες πάντα ἔπραττον πρὸς τὴν σελήνην ἀποβλέποντες, καὶ μάλιστα οἱ Λακεδαιμόνιοι. Δάτιδος γοῦν καὶ Ἀρταφέρνους τῶν στρατηγῶν τοῦ Περσῶν βασιλέως εἰς Μαραθῶνα ἐμβεβληκότων, περιέμενον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. πρὶν οὖν ἐκείνους παραγενέσθαι, κατώρθωσαν οἱ Ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν πρὸς τὸ τοιοῦτον ἔθος.

86. ἐκ κριβάνου : Οὐδετέρως λέγεται τὸ κρίβανον, (ὡς μαρτυρεῖ Φερεκράτης « τουτὶ τί ἐστιν; ὡς ἀνεκὰς τὸ κρίβανον. » οὕτω δὲ λέγεται) οἱονεὶ κρίβαυνον, ἐν ᾧ αἱ κριθαὶ ὀπτῶνται. βαύνους δὲ ἔλεγον τὰς καμίνους. (Ἀρριανὸς « οἱ δὲ ξένια ἔφερον θύννους ἐν κριβάνοισιν ὀπτούς. » καὶ κριβανίτης ἄρτος ὁ ἐν κριβάνῳ ὠπτημένος. τὴν δὲ τῶν ἄρτων ἐν κριβάνῳ ὄπτησιν Ἄννος Αἰγύπτιος ἐπενόησεν. ὅθεν καὶ παροιμία, Ἄννος κρίβανον, ἐπὶ τῶν καινόν τι ἐφευρηκότων.)

καὶ τίς εἶδε πώποτε : Λείπει τὸ οὐδείς. ὡς καὶ παρὰ τῷ Ὁμήρῳ [Od. M, 88] « τίς ἂν τάδε γηθήσειεν ἰδὼν, » προσυπακούεται τὸ οὐδείς.

88. τριπλάσιον Κλεωνύμου : Ὅτι ὡς μέγα ἔχων σῶμα καὶ δειλὸς διεβάλλετο ὁ Κλεώνυμος. ἑτέρωθι δὲ καὶ ἀδηφάγος εἴρηται. νῦν δὲ καὶ φενακιστὴν αὐτὸν κωμῳδεῖ χαριεντιζόμενος.

90. (ταῦτ' ἄρ' : Ἀντὶ τοῦ, διὰ ταῦτα. φέρων δὲ, τουτέστι) λαμβάνων, κομιζόμενος.

91. Ψευδαρτάβαν : (Γελοίως ἔπαιξε.) παίζει δὲ ὡς τοιούτων ὄντων ὀνομάτων παρὰ Πέρσαις, Ἀρταβάζου καὶ Ἀρταξέρξου. καὶ τὸ Ψευδαρτάβαν ἐποίησε παρὰ τὴν ἀρτάβην, τὸ μέτρον. Περσικὸν δὲ καὶ Αἰγύπτιον τὸ ὄνομα.

92. τὸν βασιλέως ὀφθαλμόν : Ἀντὶ τοῦ μέγα δυνάμενον παρὰ βασιλεῖ. οὕτω δὲ ἐκάλουν τοὺς σατράπας, δι' ὧν πάντα ὁ βασιλεὺς ἐπισκοπεῖ· ὡς βασιλέως ὦτα, οἱ ὠτακουσταὶ, δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάστῳ πανταχοῦ.

93. τοῦ πρέσβεως : Προπαροξυτόνως, ὡς μάντεως. ἀπὸ εὐθείας τῆς ὁ πρέσβις. οἱ δὲ παροξυτόνως ὡς χαλκέως, ἀπὸ εὐθείας τῆς ὁ πρεσβεύς· οἵτινες ἁμαρτάνουσιν. Οὐ γάρ ἐστιν ὁ πρεσβεύς.

94. ὁ βασιλέως : Οὕτως ἐκάλουν οἱ κήρυκες ἐξ ὀνόματος.

95. πρὸς τῶν θεῶν : (Ἐξεπίτηδες μέγαν ὀφθαλμὸν ἐσκεύασται ἔχων ὁ πρεσβευτής.) ναύφρακτον δὲ, ἤτοι ναύσταθμον, ὡς περιβλέποντος ἐν κύκλῳ τοῦ πρεσβευτοῦ καὶ ἀξιωματικῶς εἰσιόντος. τινὲς δὲ ναύφρακτον, τὴν ἐν ναυσὶ στρατιάν. οἷον οὖν στρατιὰν βλέπεις ὅλην· (ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες ἐκωπηλάτουν. ἐφράττοντο δὲ καὶ δερματίνοις τρόποις πρὸς τὸ μὴ τρίβεσθαι τὰ σανιδώματα. Ἄλλως. ὁ ναυτικὸς στρατὸς ναύφρακτος καλεῖται. σκώπτων οὖν αὐτὸν διὰ τὸ σοβαρῶς καὶ μόλις προσιέναι ταῦτά φησι, πότερον ἐν ὀφθαλμοῖς τὸ ναυτικὸν ἔχων οὕτω βαδίζεις,) ἢ ναῦν ἀκρωτήριον κάμπτουσαν; ἐπειδὴ δεδοικότες οἱ ἐμπλέοντες, ὅταν ὦσι πλησίον τῆς γῆς, ἠρέμα καὶ ἐπιστημόνως ἰθύνουσι, μὴ προσπταίσωσι τῇ γῇ. (ἐσκευασμένος δὲ ἦν ὁ Πέρσης, δέρμα ἔχων καθειμένον εἰς τόπον τοῦ τε πώγωνος καὶ τοῦ στόματος, ὡς ἂν προσωπεῖον. Ἄλλως.) ἔξεισι τερατώδης τις γελοίως ἐσκευασμένος καὶ ὀφθαλμὸν ἔχων ἕνα ἐπὶ παντὸς τοῦ προσώπου.

96. (ἢ περὶ ἄκραν κάμπτων : Τηνικαῦτα γὰρ μάλιστα εἰώθασι προορᾶν καὶ φυλάττειν τὴν ναῦν, ὁπόταν ἄκραν τινὰ κάμπτωσι. νεώριον οὖν, φησὶ, περιβλέπεις, ἐν ᾧ νεωλκήσεις. οἶκον δὲ νεὼς, ὃ καλοῦσιν ἀγκῶνα. ἢ μᾶλλον ὑποκρύφους τόπους διὰ τὸν ἄνεμον, ἔνθα ὑπὸ σκέπην εἰσίν.)

97. ἄσκωμ' ἔχεις : Ὡς (τοῦ) δέρματος ἐξηρτημένου τοῦ μύστακος αὐτοῦ καὶ τῆς ῥινὸς, καὶ οὕτως ἐσκευασμένου γέλωτος χάριν. ἄσκωμα δὲ ὁ ἱμὰς ὁ συνέχων τὴν κώπην πρὸς τῷ σκαλμῷ. (Ἄλλως. ὁ τῆς κώπης ὀφθαλμὸς ἔχει τὸ ἄσκωμα.) κώπης δὲ ὀφθαλμὸς τὸ τρῆμά ἐστιν.

100. Ἀπισσονασάτρα : Παίζει ὡς τῇ Περσικῇ διαλέκτῳ χρώμενος.

101. ξυνήκαθ' : Ἐνοήσατε. *Vict.*

102. πέμψειν βασιλέα : Τοῦτό φησιν ὁ κῆρυξ, ἢ οἱ πρέσβεις.

104. χρυσοχαυνόπρωκτοι : (Ἀντὶ τοῦ ἔκλυτοι.) Ἰαοναῦ δὲ ἀντὶ τοῦ Ἀθηναῖοι. Ἴωνες γὰρ οἱ Ἀθηναῖοι

ἀπὸ Ἴωνος τοῦ Ξούθου. (ὡς βάρβαρος δὲ τὸ αὖ ἔφη, Δωρικὸν ἀντὶ ἑλληνιζομένου.)

106. ὅτι χαυνοπρώκτους : Ὅτι πάντας τοὺς Ἕλληνας Ἰάονας ἐκάλουν οἱ β ρβαροι προείρηται. (καὶ Ὅμηρος [Il. N, 685] « Ἰάονας ἑλκεχίτωνας. » τὸ δὲ αὖ ἀντὶ τοῦ οὐ βαρβαρίζων ἔφη.)

108. Οὐκ, ἀλλ' ἀχάνας : Ἀχάνη μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με', ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ φασιν ὅτι κίστις ἐστίν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι.

111. ἄγε δὴ σὺ φράσον : Ἀντὶ τοῦ πρὸς ἐμαυτόν. Ἀττικὸν δὲ τὸ τοιοῦτο σχῆμα. ὡς μὴ συνιέντος δὲ αὐτοῦ δείκνυσι τῷ δακτύλῳ, ἐμοὶ λέγων καὶ τουτονί.

112. βάμμα Σαρδιανικόν : Ἵνα μή σε ἐρυθρὸν ποιήσω τῷ βάμματι μαστίξας, οἱονεὶ ἵνα μή σε φοινίξω. νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ περὶ Ἰταλίαν. γίνονται δὲ ἐν αὐτῇ πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μή σοι πληγὰς ἐντρίψω. R. (ἀντὶ τοῦ ἐρυθρὸν, φοινικοῦν. Σαρδὼ γὰρ νῆσός ἐστι τῶν ἑπτά, σταδίους ἑξήκοντα Κύρνου διέχουσα. ἐν ταύτῃ δὲ γίγνονται πορφύραι διάφοροι καὶ ὀξύταται. ἢ ὅτι εἰς τὴν Σαρδὼ τῆς Λυδίας πυρρὰ βάμματα γίνεται. βούλεται οὖν δηλοῦν ὅτι εἰ μὴ εἴποις τἀληθὲς, μαστίζων σε ἐρυθρὸν ποιήσω τοῖς αἵμασι.) τὸ δὲ ἀνανεύει καὶ ἐπινεύει παρεπιγραφή, ὑπὲρ τοῦ σαφὲς γενέσθαι ὅτι ἀρνούμενος μὲν ἀνένευσεν, ὁμολογῶν δὲ κατένευσεν.

114. ἄλλως ἄρ' ἐξηπατώμεθα : Ἠλιθίως καὶ ματαίως, ὡς καὶ Ὅμηρος [Il. Ψ, 144]

Σπερχεί', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς.

οἱ δὲ Ἀττικοὶ εἰώθασι προστιθέναι τὴν την, λέγοντες τηνάλλω.

115. Ἑλληνικόν γ' ἐπένευσαν : Τοῦτο εἶπεν, ὡς διαφέροντος καὶ τοῦ νεύματος τοῦ Ἑλληνικοῦ. ἐπένευσε δὲ μετὰ τὸ περιάγειν τὴν κεφαλήν. χρὴ μέντοι εἰδέναι ὅτι ἕνα καλέσας μικρῷ πρότερον, νῦν ὡς περὶ δύο τὸν λόγον ποιεῖται. δῆλον οὖν ὅτι δι' ἑνὸς τοῦ ἐνδοξοτέρου τοὺς δύο καλεῖ. (116) αὐτόθεν δὲ, ἀπὸ τῆς Ἀττικῆς, ἐντεῦθεν.

118. ἐγ' ᾧδ' ὅς ἐστι : Τὸ ἐγ' ᾧδα ἀντὶ τοῦ ἐγὼ οἶδα. οὗτος δὲ ὁ Κλεισθένης ἀεὶ τὸ γένειον ἐξυρᾶτο πρὸς τὸ ἀεὶ φαίνεσθαι νέος. διὸ εὐνούχῳ αὐτὸν εἰκάζει.

119. ὦ θερμόβουλον : Παρῳδίᾳ χρῆται. ἔστι γὰρ ἐν τῇ Μηδείᾳ [?] Εὐριπίδου « ὦ θερμόβουλον σπλάγχνον. » οὗτος οὖν σκώπτων Εὐριπίδην προσέθηκε πρωκτὸν παρὰ προσδοκίαν.

120. (τοιόνδ' ὦ πίθηκε : Καὶ τοῦτο παρῴδηκεν ἐκ τῶν Ἀρχιλόχου ἐπῶν

τοιήνδε δ', ὦ πίθηκε, τὴν πυγὴν ἔχων.)

122. οὐ δή που Στράτων : Καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα, ὡς Κλεισθένης· ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν ταῖς Ὁλκάσι « παῖδες ἀγένειοι Στράτων. »

125. εἰς τὸ πρυτανεῖον : Ὥστε ἐκεῖ εἶναι τοὺς πρέσβεις παρὰ Ἀθηναίοις.

ταῦτα δῆτ' οὐκ ἀγχόνη : Ἡ διαφορὰ τοῦ ὀνόματος ἐν τῷ τόνῳ. ὀξυτόνως μὲν γὰρ τὸ εἶδος τοῦ πάθους, βαρυτόνως δὲ τὸ σχοινίον καὶ ὁ βρόχος.

127. τούσδε ξενίζειν : Παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων, (οὐδέποτ' ἴσχει ἡ θύρα. μέμνηται καὶ Εὔπολις ἐν Φίλοις

νὴ τὸν Ποσειδῶ, οὐδέποτ' ἴσχει ἡ θύρα.

καὶ Καλλίμαχος ἐν Ἑκάλῃ [fr. 41]

τῖον δὲ ἑ πάντες ὁδῖται
ἦρα φιλοξενίης· ἔχε γὰρ τέγος ἀκλήϊστον.

καὶ Πίνδαρος [Nem. 9, 4]

ἔνθ' ἄρα πεπταμέναιν ξείνων ἕνεκεν ταῖν θύραιν.

λέγει δὲ περὶ τῶν πρυτάνεων, διότι αὐτὸν μὲν ὑπὲρ τῆς πόλεως στρατευόμενον καὶ πονοῦντα οὐ δέχονται, τοὺς δὲ πρέσβεις ξένους ὄντας καὶ ξενίζουσιν ἐν αὐτῷ. ἴσχει δὲ ἀντὶ τοῦ κωλύει, ἢ ἀποκλείει. Ἄλλως. οὐδέποτε ἐκώλυσεν ἢ ἀπέκλεισεν. ὁ δὲ λόγος ἐπὶ τῶν πρυτάνεων, καθὸ ἐπὶ ξενίαν καλοῦσι τοὺς ἀφικνουμένους.)

132. καὶ τῇ πλάτιδι : Τῇ γυναικί· παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην.

133. (πρεσβεύεσθε : Ἀντὶ τοῦ πρέσβεις πέμπετε. τὸ δὲ κεχήνατε,) ἐξαπατᾶσθε καὶ ἐνεοί ἐστε.

134. προσίτω Θέωρος : (Οὗτος ἐπὶ κολακείᾳ κωμῳδεῖται.) ὁ κῆρυξ καλεῖ ἄλλον πρεσβευτὴν ἐλθόντα παρὰ Σιτάλκους τοῦ Θρᾳκῶν βασιλέως, πρὸς ὃν ἦσαν ἀποστείλαντες αὐτὸν Ἀθηναῖοι. οὗτος δὲ ἐκαλεῖτο Θέωρος. μέμνηται δὲ αὐτοῦ ποτὲ μὲν ὡς ἐπιόρκου, ὡς ἐν Νεφέλαις [399]· (φησὶ γὰρ

εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς δῆτ' οὐχὶ Σίμων' ἐνέπρησεν
οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον, καίτοι σφόδρα γ' εἴσ' ἐπίορκοι;)

ποτὲ δὲ ὡς κόλακος, ὡς ἐν τοῖς Σφηξίν [20]. (εἰσκηρύττεται δὲ ἀντὶ τοῦ καλεῖται ὑπὸ τοῦ κήρυκος.)

137. οὐκ ἂν γ' εἰ μισθόν γε μὴ 'φερες : Τοῦτο διὰ μέσου ὁ Δικαιόπολις. οὐκ ἂν ἔτριψας τὸν χρόνον, εἰ μὴ πολὺν μισθὸν ἐλάμβανες. τὸ γὰρ ἔφερες ἀντὶ τοῦ ἐλάμβανες, ἐβάσταζες.

140. ὅτ' ἐνθαδὶ Θέογνις : Οὗτος ὁ Θέογνις τραγῳδίας ποιητὴς ψυχρός. κωμῳδῶν οὖν αὐτὸν (παρίστησιν ἡμῖν τὴν πολλὴν χιόνα, διὰ τὴν τούτου περὶ τὰ ποιήματα ψυχρότητα.) τὸν ψυχρὸν οὖν τῷ ψυχρῷ παρέβαλεν. πάνυ δὲ χαριέντως ἔσκωψε.

142. (καὶ δῆτα φιλαθήναιος : Τὸ φιλαθήναιος προπαροξύνειν δεῖ, ἐπεὶ τὰ εἰς ος λήγοντα προπερισπώμενα ἁπλᾶ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, οἷον δῆμος Ἀριστόδημος, πῶλος ἐχέπωλος· καὶ Ὅμηρος [Il. Δ, 458] « Θαλυσιάδην ἐχέπωλον· » κνεφαῖος ἀκροκνέφαιος, ὀμφαῖος πανόμφαιος, ἀρχαῖος φιλάρχαιος. οὕτω καὶ φιλαθήναιος.)

144. ἐν τοῖς τοίχοις : Ἴδιον ἐραστῶν ἦν τὰ τῶν ἐρω-

μένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις ἢ δένδροις ἢ φύλλοις, (οὕτως· ὁ δεῖνα καλός. καὶ παρὰ Καλλιμάχῳ [fr. 101]

ἀλλ' ἐνὶ δὴ φύλλοισι κεκομμένα τόσσα φέροιτε
γράμματα, Κυδίππην ὅσσ' ἐρέουσι καλήν.

καὶ ἐν τοῖς Σφηξὶν [99] « ἰὼν παρέγραψε κημὸς καλός. » καὶ Λιβάνιος « φιλοῦσι γὰρ οἱ σφόδρα περί τι « ἐρωτικῶς ἔχοντες ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασι. »)

145. ὁ δ' υἱὸς ὃν Ἀθηναῖον : Τοῦτον πολίτην ἐποίησαν Ἀθηναῖοι, (τοῦ πατρὸς στρατιὰν αὐτοῖς παραπέμποντος. ἐλέγετο δὲ οὗτος Τήρης. ἔνιοι δέ φασιν ὅτι ὁμώνυμος ἦν τῷ πατρὶ Σιτάλκει, σύμμαχος Ἀθηναίοις. μέμνηται Θουκυδίδης [2, 19 coll. 67], προστίθησι δὲ καὶ τὸ ὄνομα λέγων οὕτως « καὶ Σάδοκον τὸν « υἱὸν αὐτοῦ Ἀθηναῖον. »)

146. (ἦρα φαγεῖν : Χαριέντως, ὡς ἐξαπατωμένων τῶν Ἀθηναίων. λέγει δὲ νῦν περὶ Ἀπατουρίων, ἑορτῆς ἐπισήμου δημοτελοῦς, ἀγομένης παρὰ τοῖς Ἀθηναίοις κατὰ τὸν Πυανεψιῶνα μῆνα ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην δόρπειαν, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· τὴν δὲ δευτέραν ἀνάρρυσιν, ἀπὸ τοῦ ἀναρρύειν, τοῦ θύειν· ἔθυον δε Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ· τὴν δὲ τρίτην κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκους. ἡ δὲ αἰτία, πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν, ὃ ἦν χωρίον ἐν μεθορίοις. Ξάνθος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν, Μεσσήνιος τὸ γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δὲ, ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξάνθου, τραγῆν, τουτέστιν αἰγίδα μέλαιναν, ἐνημμένος. ἔφη οὖν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα. ὁ δὲ ἐπεστράφη. ὁ δὲ παίσας ἀποκτείνει αὐτόν. ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια καὶ Διονύσου μελαναίγιδος βωμὸν ἐδωμήσαντο. οἱ δέ φασιν ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφὰς οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτήν. ὁποίῳ τρόπῳ λέγομεν ἄλοχον τὴν ὁμόλεκτρον, καὶ ἄκοιτιν τὴν ὁμόκοιτον, οὕτω καὶ Ὁμοπατόρια Ἀπατόρια.)

150. ὅσον τὸ χρῆμα : Ὡς πολλῶν ὄντων παρνόπων ἐν τῇ Ἀττικῇ. βούλεται δὲ πολὺ πλῆθος σημᾶναι. εἶδος δὲ ἀκρίδων οἱ πάρνοπες. (εἰσὶ δὲ οὗτοι ἀττέλαβοι Ἀττικοὶ πάρνοπες.)

154. τοῦτο μέν γ' ἤδη σαφές : Τοῦτο ψεύδεται, ὡς ἀσθενῶν ἢ ὀλίγων ὄντων.

156. Ὀδομάντων : Ὀδόμαντες ἔθνος Θρακικόν. φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι.

158. ἀποτέθρακεν : Ἀπέτιλε. κυρίως δὲ ἀπεφύλλισε συκᾶς. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. ἐλειαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾶκες τὰ αἰδοῖα καὶ ἀποσεσυρμένα εἶχον αὐτά.

160. καταπελτάσονται : Κατακοντίσουσι, καταπολεμήσουσι. πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ ἀφιᾶσιν. ἢ καταδραμοῦνται. πέλτη γὰρ ἀσπὶς μικρὰ (μὴ ἔχουσα ἱμάντα. ἐχθροὶ δὲ ἦσαν καὶ οἱ Βοιωτοὶ τοῖς Ἀθηναίοις.)

162. ὁ θρανίτης λεώς : Ἀντὶ τοῦ ὁ ναυτικός. ἐκ μέρους δὲ τὸ πᾶν εἶπε. τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω ἐρέττοντες θρανῖται λέγονται, οἱ δὲ μέσοι ζυγῖται, οἱ δὲ κάτω θαλάμιοι. ὁ δὲ λόγος, εἰ οἱ Ὀδόμαντες τοσαῦτα λαμβάνουσι, πᾶν τὸ παρ' ἡμῖν ναυτικὸν πλῆθος ἀγανακτήσει, πολλὰ μὲν ἐν ταῖς τριήρεσι κάμνοντες, ὀλίγα δὲ λαμβάνοντες.

163. οἴμοι τάλας : Δεῖ νοεῖν ὅτι ἐκ τῶν ἀγρῶν ἔρχεται ὁ Δικαιόπολις ἔχων φορτίον σκορόδων, καὶ ἐπηρεάζεται ὑπὸ τῶν ξένων, ὡς ἐκείνων λιμωττόντων καὶ ἁρπαζόντων τὰ σκόροδα. (τοῦτο δὲ εἶπε πορθούμενος, παρόσον καὶ οἱ πορθούμενοι ἀπόλλυνται.) ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾶκες οὐκ ἀπεικότως. θερμὰ γὰρ τὰ σκόροδα φυσικῶς, οἱ δὲ Θρᾶκες ψυχρὰν χώραν νέμονται.

165. οὐ καταβαλεῖτε : Ὁ Θέωρος δὲ ἐπιπλήττει τοῖς βαρβάροις ἁρπάζουσι τὰ σκόροδα. (166) καὶ τῷ Δικαιοπόλιδι ὁμοίως ἐπιπλήττει ἐρεθίζοντι αὐτούς. Εἰς τὸ αὐτό. ἀντὶ τοῦ σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις, μετειληφόσι τῶν σκορόδων. ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. τούτοις γὰρ ὅτε μέλλουσι μάχεσθαι, σκόροδα δίδοται ἐσθίειν, ἵνα θερμανθέντες ὀξύτεροι γένωνται, ὡς καὶ ἐν Ἱππεῦσί φησιν [494]

ἵν' ἄμεινον, ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ.

171. διοσημί' ἐστί : Παρεφυλάττοντο γὰρ οἱ Ἀθηναῖοι τὰς τοῦ Διὸς ἡμέρας, καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης, ἢ ἄλλο τι μέλλοντες ἀνύειν. διοσημία δέ ἐστιν ὁ παρὰ καιρὸν χειμών.

ῥανίς : Σταλαγμός, σταγών. *Vict.*

172. παρεῖναι δ' εἰς ἔνην : Οἷον εἰς τρίτην. [Hesiod. Op. 408] « μὴ δ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔνηφι. » τινὲς δὲ εἰς τριακάδα. διαλυθείσης δὲ τῆς ἐκκλησίας συνήγοντο πάλιν βουλευόμενοι περὶ τῶν αὐτῶν. Ἀττικοὶ δὲ καλοῦσιν ἔνην καὶ τὴν παλαιάν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος [p. 775, 25] « τὰς ἕνας ἀρχὰς ταῖς νέαις ὑπεξιέναι. »

174. μυττωτόν : Ἀντὶ τοῦ σκόροδα, ἐξ ὧν ὁ μυττωτὸς γίνεται. κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ᾠοῦ. ἀπὸ τοῦ παντὸς οὖν κατασκευάσματος τὸ μέρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα.

176. μήπωγε : Γελοίου χάριν εἶπε πρὸς τὸ χαίρειν τὸ μήπω.

179. (ὤσφροντο : Ἀντὶ τοῦ ᾔσθοντο εἶπε τὸ ὤσφροντο, ὅτι δι' οἴνου εἰσὶν αἱ σπονδαί· ὡς ἐκ τῶν μετὰ ταῦτα δῆλον. δι' ὀσφρήσεως δὲ ἡ αἴσθησις τῆς ἀναφορᾶς τοῦ οἴνου.)

180. στιπτοὶ γέροντες : Ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ ἀπὸ τῶν ἐσθητῶν, αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα

συνάπτονται. (ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι ἀπὸ τοῦ στείβειν, ὅ ἐστι πατεῖν.)

πρίνινοι : Στερεοὶ καὶ σκληροί. (ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. καὶ) Ἡσίοδος [Op. 434] « πρίνου δὲ γύην. » καὶ πάλιν [427]

πρίνινον, ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν.

ἀτεράμονες δὲ, λίαν σκληροὶ, μὴ τειρόμενοι, ἀνένδοτοι. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγεται, (οἷον οὐχ ἁπαλά).

181. σφενδάμνινοι : Ἰσχυροί. τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον. ἀντὶ τοῦ σφενδονῆται. (Ἄλλως. τὸ σφενδάμνινοι ταυτόν ἐστι τῷ πρίνινοι. σφένδαμνος γὰρ εἶδος ἰσχυροῦ ξύλου. ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος. ἡ γὰρ σφενδόνη ἀπὸ καννάβεως γίνεται.)

ἀτεράμονες : Ἀκαμπεῖς. *Vict.*

183. (τῶν ἀμπέλων τετμημένων : Οἱ γὰρ Πελοποννήσιοι εἰσβάλλοντες εἰς τὴν Ἀττικὴν ἔτεμνον τὴν γῆν τῶν Ἀχαρνέων.

184. κἀς τοὺς τρίβωνας : Ἀττικὸν τὸ σχῆμα. ἀντὶ τοῦ ἐς τοὺς τρίβωνας ξυνελέγοντο τοὺς λίθους.

187. τρία γε ταυτί : Ἔπαιξε παρὰ τὰς σπονδὰς, ἐπεὶ οἴνῳ γίνονται αἱ δι' ὅρκων συνθῆκαι. ἀντὶ δὲ τοῦ εἰπεῖν ἀνάγνωθι, εἶπεν γεῦσαι.)

190. ὄζουσι πίττης : Κοινὸν ἐπὶ οἴνου καὶ νεὼς τὸ πίσσης ὄζειν. (ἔστι γὰρ πισσίζων οἶνος.) ὁ δὲ λόγος, ὄζουσιν αἱ σπονδαὶ αὗται κατασκευῆς τριήρων, διὰ τὸ ὀλιγοχρόνιον αὐτῶν. (192) (εἰς τὰς πόλεις δὲ τὰς τῶν συμμάχων.)

193. ὀξύτατον, ὥσπερ διατριβῆς : Ἀντὶ τοῦ ἀπωλείας καὶ συντριβῆς. (ἢ ἀντὶ τοῦ μόναι πρεσβεῖαι ἔσονται περὶ τῶν συμμάχων, ὥστε μένειν αὐτοὺς καὶ μὴ μεθίστασθαι, ἀλλὰ συμμαχεῖν τῇ πόλει. Ἄλλως. ἀπὸ μεταφορᾶς τοῦ τραπέντος οἴνου εἰς ὄξος. καὶ τῶν οἴνων τὸ ὀξύτατον.)

195. ὦ Διονύσια : Θαυμάζων ταῦτα λέγει, προσδοκῶν εἰρήνης οὔσης τὴν τῶν Διονυσίων πανήγυριν ἔσεσθαι. (εἴρηται δὲ ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. ἀντὶ τοῦ ἥδισται, ἄξιαι τῶν Διονυσίων. Διονύσια δὲ ἑορτὴ Διονύσου, ἣν ἦγον Ναυπάκτιοι.)

197. (καὶ μὴ ἐπιτηρεῖν : Εἴ ποτε γὰρ ἔξοδος ἐπὶ στρατὸν ἐγένετο, εἰώθεσαν οἱ στρατηγοὶ προλέγειν τοῖς στρατιώταις, ὥστε τριῶν ἡμερῶν παρασκευάζεσθαι σιτία. σκώπτει οὖν τοῦτο τὸ στρατηγικὸν παράγγελμα, ὡς ἀηδὲς καὶ βαρὺ τοῖς εἰρήνης ἐπιθυμοῦσι.)

198. κἂν τῷ στόματι : Ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδάς. στόμα γοῦν αὐταῖς προστίθησιν. (ἢ ἐν τῷ ἡμετέρῳ στόματι, γευσαμένων ἡμῶν, μονονουχὶ φωνὴν ἀφιᾶσιν. Ἄλλως. λέγουσι, φησὶν, αἱ σπονδαὶ, ἄπιθι ὅπου θέλεις. εἰκότως. ἐν γὰρ πολέμῳ διὰ τὰς ἐπιδρομὰς τῶν πολεμίων καὶ τῆς πολιορκίας οὐκ ἔστιν ἀπελθεῖν ὅπου τις βούλεται.)

200. (χαίρειν κελεύων : Κατ' εὐφημισμὸν τὸ χαίρειν κελεύων τὸν Ἀμφίθεον οἴονταί τινες· ἵνα γραφῇ τὸ κελεύω χωρὶς τοῦ ν. τὸ δὲ ἑξῆς, ἐγὼ δὲ πολέμου, τὸν Δικαιόπολιν.

202. ἄξω κατ' ἀγρούς : Τὰ Λήναια λεγόμενα. ἔνθεν τὰ Λήναια καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. Λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου, διὰ τὸ πλεκτοὺς ἐνταῦθα γεγονέναι. ἢ διὰ τὸ πρῶτον ἐν τούτῳ τῷ τόπῳ λήναιον τεθῆναι. Μένανδρος « τραγῳδὸς ἦν ἀγὼν, Διονύσια. »)

204. τῇδε πᾶς ἕπου : (Ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ, ὃν συμπληροῦσιν οἱ Ἀχαρνεῖς. παράγονται δὲ συντόνως μετὰ σπουδῆς διώκοντες τὸν Ἀμφίθεον, σπονδὰς ποιησάμενον πρὸς τοὺς Λακεδαιμονίους. γέγραπται δὲ τὸ μέτρον τροχαϊκὸν, πρόσφορον τῇ τῶν διωκόντων γερόντων σπουδῇ. ταῦτα δὲ ποιεῖν εἰώθασιν οἱ τῶν δραμάτων ποιηταὶ κωμικοὶ καὶ τραγικοὶ, ἐπειδὰν δρομαίως εἰσάγωσι τοὺς χορούς, ἵνα ὁ λόγος συντρέχῃ τῷ δράματι.) τὸ δὲ τῇδε τοπικόν ἐστιν ἐπίρρημα καὶ κεῖται ἐν ἴσῳ τῷ ἐνταῦθα. (καὶ ἔχει παρὰ τοῦ ποιητοῦ [Il. O, 46]

τῇ ἴμεν ᾗ κεν δὴ σὺ κελαινεφὲς ἡγεμονεύεις.

σημαίνει δέ ποτε καὶ ῥῆμα προστακτικόν [Od. I, 347] « Κύκλωψ, τῆ πίε οἶνον. » ἐχρήσατο δὲ τῷ πληθυντικῷ ὁ Σώφρων εἰπὼν « τῆτέ τοι κορῶναί εἰσιν. » Ἄλλως. κορωνίς. εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν Ἀμφίθεον, καὶ ἔστι μεταβολικὸν μέλος ἐκ δύο μονάδων μονοστροφικῶν, ὧν ἡ μὲν πρώτη ιδ' κώλων ἔχει τὰς περιόδους· ὧν δ' μὲν ἐν εἰσθέσει εἰσὶ τροχαϊκαὶ καὶ καταληκτικαὶ τετράμετροι. εἶτα ἐν ἐκθέσει κῶλα παιωνικὰ ἕνδεκα κρητικοῖς ἐπιμεμιγμένα, καὶ τὸ ς' καὶ τὸ ὄγδοον καὶ δέκατον δίρρυθμα, τὰ δ' ἄλλα τρίρρυθμα.)

(καὶ τὸν ἄνδρα πυνθάνου : Ἀντὶ τοῦ περὶ τοῦ ἀνδρός. ὅμοιον γάρ ἐστι τῷ « ἄνδρα μοι ἔννεπε Μοῦσα. »

206. ξυλλαβεῖν τὸν ἄνδρα : Διττή ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις. πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου, ὥσπερ καὶ νῦν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου [?] « οὐχὶ συλληψόμεθα. » ἐὰν δὲ πρὸς δοτικὴν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς Ἰσοκράτης ἐν ταῖς παραινέσεσιν [p. 2, C] « ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, » ἴσον τῷ συναγωνιζομένην. ἐπάγει γοῦν « καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. » καὶ Δημοσθένης ἐν πρώτῳ Φιλιππικῶν.)

207. εἴ τις οἶδ' ὅποι τέτραπται : Ἀστεία καὶ καθαρὰ εἰς ὑπερβολὴν ἡ σύνταξις τὸ λέγειν οὐκ εἰς ποίαν γῆν πέφευγεν, ἀλλὰ ποῦ γῆς. δόξαν γὰρ πεπαιδευμένου καρπώσαιτο ἄν τις οὕτως εἰπών.

210. τῶν ἐτῶν τῶν ἐμῶν : Οὐκ ἀπόβλητον οὐδὲ τοῦτό μοι δοκεῖ. σφόδρα γὰρ Ἀττικὴ ἡ φράσις. λείπει γὰρ τὸ ἕνεκα. τὸ κατ' ἔλλειψιν οὖν ῥηθὲν κοινὸν αὐτῷ πεποίηκε. λέγοις ἂν καὶ σὺ παραπλησίως· οἴμοι τῆς τύχης, μακάριος τῆς ἐμῆς παιδείας.

211. οὐχ ἂν ἐπ' ἐμῆς νεότητος : Ὁ μὲν χορὸς συνέστηκεν ἐξ κδ' ἀνδρῶν. ἔστι δὲ νῦν γεροντικός. πάνυ δὲ ἐμμελῶς καὶ μετὰ πάσης ἀρετῆς ὁ ποιητὴς ἐμιμήσατο γερόντων τρόπους καὶ λόγους· τρόπους μὲν ἐκ τῆς ἀκροχολίας, λόγους δὲ ἐκ τῆς τῶν παλαιῶν ἔργων ὑπολήψεως. τοιοῦτος ἡμῖν καὶ ὁ Νέστωρ δοκεῖ λέγων [Il. H, 133] « ἡβῷμ', ὡς ὅτ' ἐπ' ὠκυρόῳ. » καὶ πάλιν [157] « εἴθ' ὣς ἡβώοιμι· τῷ κε τάχ' ἀντήσειε « μάχης κορυθαίολος Ἕκτωρ. » ὁ μὲν οὖν Ὅμηρος ἡρωϊκὸς ὢν ἡρωϊκῶν πράξεων μέμνηται, Ἀριστοφάνης δὲ ὡς μετρίοις ἀνδράσι καὶ βαναύσοις περιέθηκεν ἄνθρακας καὶ φορτία βασταζόμενα.

214. Φαΰλλῳ : Ὁ Φάϋλλος δρομεὺς ἄριστος (ὀλυμπιονίκης, ὁπλιτοδρόμος περιώνυμος, ὃν ἐκάλουν ὁδόμετρον. ἦν δὲ καὶ πένταθλος.) ἐφ' οὗ καὶ ἐπίγραμμα τοιόνδε,

πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος,
δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων.

(ἐγένετο δὲ καὶ ἕτερος ἀθλητὴς ὀγδόην ὀλυμπιάδα νικήσας, καὶ τρίτος λωποδύτης.)

215. ὧδε φαύλως ἄν : Ἀντὶ τοῦ εὐχερῶς καὶ μετὰ ῥαστώνης. (δηλοῦται δὲ ἐκ τῆς λέξεως καὶ τὸ ἁπλοῦν καὶ τὸ κακόν. τὸ δὲ ἑξῆς, οὐχ ἂν ὧδε φαύλως.)

217. (ἀπεπλίξατο : Ἀπεσείσατο, ἀπέφυγεν. πλίξ γὰρ τὸ βῆμα, καὶ πλίγματα τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην, ἀμφιπλίξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος [Od. Z, 318]

αἱ δ' εὖ μὲν τρώχων, αἱ δ' ἐπλίσσοντο πόδεσσιν.

ἔλεγον δὲ πλίξ καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν.)

219. νῦν δ' ἐπειδὴ στερρόν : (Σκληρόν.) ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον. (ὥσπερ κατὰ ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων χλωρόν. Θεόκριτος [14, 70 corrupte] » ποιη« ταὶ δὲ λόγων χλωρῶν » ἀντὶ τοῦ ἀκμαίων, νέων. ἀπὸ μεταφορᾶς τῶν καλάμων, οἳ ὄντες μὲν χλωροὶ ἁπαλοί εἰσι, ξηραινόμενοι δὲ ξηροὶ καὶ σκληροὶ γίνονται. εὐφήμως οὖν εἶπε στερρὸν ἀντὶ τοῦ ξηρόν.)

220. Λακρατίδῃ : Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθήνησιν, ὡς καὶ Φιλόχορος. ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου, ἐφ' οὗ πλείστη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδου ἐκάλουν. (δηλοῦνται δὲ καὶ νῦν τῷ ψυχρῷ καὶ γεροντικῷ. λέγει οὖν ὅτι διὰ τὸ γῆρας οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.)

228. (τῶν ἐμῶν χωρίων : Κἀνταῦθα λείπει τὸ ἕνεκα.)

229. πρὶν ἂν σχοῖνος : Εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος καὶ πληκτικοῦ, προσεοικότος βελόνῃ. παρατηρεῖν δὲ δεῖ ὅτι ἀρσενικῶς λέγουσι τὸν σχοῖνον. ὁ δὲ λόγος, πρὶν αὐτοὺς τρώσω, ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός.

230. ἐπίκωπος : Ἀντὶ τοῦ, διὰ νεὼς καὶ ναυτικὸς ὢν ἐπίω αὐτοῖς, ναυτικοὶ δὲ οἱ Ἀθηναῖοι (καὶ προσέχοντες τῷ ναυτικῷ. ἡ δὲ ὁμώνυμος λέξις ἐστὶ καὶ παρ' Ὁμήρῳ [Od. Δ, 559] « οὐ γάρ μοι νέες εἰσὶν ἐπήρετμοι. » ἐπίκωπος οὖν ἤτοι ὅπερ ἔφην ναυτικὸς ἢ ξιφήρης. κώπη γὰρ τοῦ ξίφους ἡ λαβή, ἡ κόπτειν δυναμένη, ἤγουν κωπήεις.)

232. (ἵνα μήποτε πατῶσιν : Εἰώθασι γὰρ σκόλοπάς τινας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ εὐχερῶς κακουργῇ. ἐπειδὴ οὖν προεῖπε, σκόλοψ καὶ σχοῖνος αὐτοῖς ἄτ' ἐμπαγῶ, εἰκότως ἐπήνεγκε τοῦτο, ἵνα μηκέτι πατῶσι τὰς ἐμὰς ἀμπέλους.)

234. Παλλήναδε : Οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν συνέστη πόλεμος. (συγκέκοπται δὲ ἡ λέξις. τὸ γὰρ ὁλόκληρόν ἐστι Παλληναίαδε. ὑπήλλακται δὲ ἡ κυριότης τῆς διανοίας.) δέον γὰρ εἰπεῖν ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Παλληνικόν, τουτέστι γενναῖον, εἶπε Παλλήναδε. ὃ δὲ εἰπεῖν βούλεται, τοῦτό ἐστιν· ὠμῶς διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις, ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. (μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Ἄλλως. Παλλήνη δῆμος τῆς Ἀττικῆς. νῦν δὲ διὰ τοῦ β γραπτέον κατὰ συγγένειαν τοῦ β εἰς τὸ π. εἴρηται δὲ ἀπὸ τοῦ βάλλειν λίθοις. θέλει γὰρ εἰπεῖν ὅτι δεῖ ζητεῖν τὸν ἄνδρα καὶ λιθολευστεῖν αὐτόν.)

236. ἐμπλείμην λίθοις : Κορεσθείην. εὐκτικῆς ἐγκλίσεως τετύχηκε τὸ ἐμπλείμην. (ἔστι γὰρ ἐμπιπλῶ, ὃ κατὰ ἀναδιπλασιασμὸν κέκλιται, ἀφ' οὗ παράγωγον τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ [Il. Φ, 23] « πιμ« πλᾶσι μυχοὺς λιμένος εὐόρμου. » τὸ δὲ ἑτέρᾳ παραγωγῇ, ἀφ' οὗ τὸ πλήθω, ὡς ἀπὸ τοῦ νῶ νήθω. ἀπὸ δὴ τοῦ) πλῶ πλείμην, ὡς ἀπὸ τοῦ βλῶ βλείμην, (οὗ τὸ δεύτερον [Il. N, 288] « εἴπερ γάρ κε βλεῖο. »)

237. εὐφημεῖτε : Τοῦτο ὁ Δικαιόπολις μέλλων ποιεῖν θυσίαν φησί. τοῦτο γὰρ ἦν ἔθος.

238. (σίγα πᾶς : Ἐπ' αὐτῷ τούτῳ δυσχεραίνουσι καὶ διάκεινται χαλεπῶς, ὅτι οὐ μόνον εἰρήνην ἐποίησεν, ἀλλὰ καὶ θυσίας ἐπιτελεῖ.)

239. (οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν : Τὸ δὶς τὸν αὐτὸν λόγον ἐπιφθέγξασθαι παρίστησιν ἐκ μετατροπῆς ἀλήθειαν βεβαιούμενος.)

ἀλλὰ δεῦρο πᾶς : Πρὸς ὀλίγον χρόνον ὑποστείλασθαι βούλονται, ἵνα μὴ προϊδόμενος ὁ σπονδοφόρος φύγῃ, (ἀλλὰ δυνηθῶσιν αὐτὸν χειρώσασθαι. τοιαῦται ἦσαν καὶ αἱ Ὀδυσσέως πρὸς Διομήδη παρακελεύσεις [Il. K, 344]

ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο
τυτθόν· ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντες ἕλοιμεν.)

242. πρόϊθ' ὡς τὸ πρόσθεν : Κατὰ τὴν τῶν Διονυσίων ἑορτὴν παρὰ τοῖς Ἀθηναίοις αἱ εὐγενεῖς παρθένοι ἐκανηφόρουν. ἦν δὲ ἐκ χρυσοῦ πεποιημένα τὰ κανᾶ, ἐφ' ὧν τὰς ἀπαρχὰς ἁπάντων ἐτίθεσαν. (διπλῆ δὲ μετὰ κορωνίδος, ὅτι εἰσίασιν οἱ ὑποκριταί, καὶ εἰσὶν ἰαμβεῖα.)

243. ὁ Ξανθίας τὸν φαλλόν : Φαλλὸς ξύλον ἐπιμήκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵστατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ, κατά τι μυστήριον. περὶ δὲ αὐτοῦ τοῦ φαλλοῦ τοιαῦτα λέγεται. Πήγασος ἐκ τῶν Ἐλευθερῶν, αἱ δὲ Ἐλευθεραὶ πόλις εἰσὶ Βοιωτίας, λαβὼν τοῦ Διονύσου τὸ ἄγαλμα ἧκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀθηναῖοι οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν θεόν. ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν, καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δὲ ἀπεῖπον πρὸς τὴν νόσον κρείττω γενομένην πάσης ἀνθρωπείας μαγγανείας καὶ τέχνης, ἀπεστάλησαν θεωροὶ μετὰ σπουδῆς· οἳ δὴ ἐπανελθόντες ἔφασαν ἴασιν ταύτην εἶναι μόνην, εἰ διὰ τιμῆς ἁπάσης ἄγοιεν τὸν θεόν. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν, καὶ τούτοις ἐγέραιρον τὸν θεόν, ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως δὲ καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ θεός. ἡδονὴν γὰρ καὶ ἀφροδίσια μέθη ἐξανίστησι. τοιγαροῦν καὶ ὁ Λάϊος ἐκδοὺς ἑαυτὸν μέθῃ [Eurip. Phœn. 21] « εἴς τε βακχεῖον πεσὼν » ἐφύτευσε (παῖδα. φαλλὸς δὲ τὸ πέος. παίζει δὲ πρὸς τὸν οἰκέτην. Ξανθίας γὰρ οἰκετικὸν ὄνομα. κέχρηται δὲ αὐτῷ καὶ ἐν Βατράχοις [271] « ὁ Ξανθίας, ποῦ Ξανθίας; » εἰσὶ δὲ καὶ ἐν τῇ κωμῳδίᾳ οἰκέται Ξανθίας, Τίβιος, Σωσίας, Δᾶος, Γέτας.)

245. (τὴν ἐτνήρυσιν : Τὴν ζωμάρυστρον, ἐν ᾗ τὸ ἔτνος ἀρύονται. καθάριον δὲ εἰς ὑπερβολὴν τὸ ὄνομα. ἔστι δὲ καὶ τοῦτο ἀστεῖον καὶ πεπαιδευμένῳ ἁρμόζον, μηδὲ τῶν κατὰ τὴν οἰκίαν σκευῶν τῆς καθημερινῆς χρείας ἀγνοεῖν τὰ ὀνόματα. ἐτνήρυσιν οὖν ἐκάλεσε παρὰ τὸ ἐν αὐτῇ ἀρύεσθαι τὸ ἔτνος. λέγομεν δὲ ἐτνήρυσιν πᾶν τὸ ταράσσον. ἔτνος δὲ ἔλεγον τὴν ἀθάραν καὶ τὸ πίσινον ἀφέψημα, ὡς καὶ ἐν Βατράχοις [62] « ἤδη πότ' ἐπεθύμησας ἔτνους. »)

246. τοῦ 'λατῆρος : Ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ. (ἔνθεν καὶ ἡ ἐπωνυμία, παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. ἐλατῆρος οὖν τοῦ πέμματος. ἔστι δὲ ἄρτος πλατύς, ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τῷ βωμῷ. ἐλατὴρ δὲ πᾶν τὸ πλατύ. εἰσὶ δὲ καὶ λαγαρώδεις παρὰ τὸ λαγαρόν. καὶ πέλανοι παρ' Εὐριπίδῃ.)

254. θυμβροφάγον : Ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον, παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες ἀφελέστεροι καὶ ἐπιεικέστεροι. τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ καὶ τοῦτο ἄγριον φυτόν. ἢ πικρὸν καὶ δριμὺ κατὰ τῶν ἐχθρῶν. (δριμὺ γὰρ τὸ φυτόν. οἱ δὲ ἀντὶ τοῦ δριμὺ καὶ ἱλαρόν. τινὲς δὲ τῷ θύμῳ παραπλήσιον. ἢ ἁπαλὸν, ἡδύ. κωμικῶς δὲ ἔπαιξεν.)

255. γαλᾶς : Ἀντὶ τοῦ παῖδας δριμυτάτους. τοῦτο δὲ τὸ σχῆμα καλεῖται παρὰ προσδοκίαν. ἔδει γὰρ ἐκφάναι, ἐκποιήσεται παῖδας νεανίας.

ὀπύσει : Γαμήσει. *Vict.*

256. ἐπειδὰν ὄρθρος ᾖ : Παρόσον ἐν τῷ ὄρθρῳ δοκοῦσιν οἱ ἄνθρωποι συνεχῶς βδέειν, διὰ τὸ τὰς πέψεις τότε γίνεσθαι.

257. πρόβαινε : Ὡς ἐπὶ ὄχλου πομπευόντων αὐτῶν (λέγει. φυλάττεσθαι δὲ ἀντὶ τοῦ παρατηρεῖν, φυλάττειν.)

259. (ὀρθὸς ἐκτέος : Ὑμῖν δ' ἐστὶν ὁ φαλλὸς κατασχετέος, βαστακτέος ἑπομένοις τῇ κανηφόρῳ. ἅμα δὲ καὶ πρὸς τὸ κακέμφατόν ἐστιν ὁ φαλλὸς, τὸ πρὸς μίμησιν τοῦ αἰδοίου. καὶ τοῦτο δὲ παίζει κωμικῶς λέγων, τὸν φαλλὸν ὀρθὸν κατέχειν ὄπισθεν τῆς παρθένου.)

261. ᾄσομαι τὸ φαλλικόν : Ἄσματα λέγεται φαλλικὰ τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη. ἔστι δὲ εἰς Διόνυσον (ἢ εἰς ἄλλον καρπόν).

263. (Φαλῆς ἑταῖρε : Διπλῇ καὶ μέλος, οὗ ἡγεῖται περίοδος. ἡ περικοπὴ κώλων ιζ' τοῦ ὑποκριτοῦ, ἧς πρῶτα μέν εἰσιν η'. ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα ἀκατάληκτα μὲν β', τὸ δὲ γ' καταληκτικόν. τὰ δὲ ἄλλα ε' καταληκτικά. περισπωμένως δὲ τὸ Φαλῆς ἀναγνωστέον, ὡς Ἑρμῆς. οὕτως δὲ Ἀττικοί· παρὰ Δωριεῦσι δὲ βαρυτόνως. « ὁ δ' αὖ Φάλης κατακυπτάζει. » οὕτω Σώφρων ἐχρήσατο. ὥσπερ δὲ Ὅμηρος ἥρμοσε κατάπληξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι [Il. I, 2] « θεσπεσίη ἔχε φύζα » εἰπὼν « φόβου κρυόεντος ἑταίρη, » οὕτω καὶ ὁ κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς, Διονύσῳ τὸν φαλλὸν ἑταῖρον εἶναι φησίν. ἀκόλουθα γὰρ Διονυσιακῷ ποτῷ τὰ ἀφροδίσια. μαρτυρεῖ δὲ ἡμῖν καὶ Εὐριπίδης [Phœn. 21]

ὁ δ' ἡδονῇ δοὺς εἴς τε βακχεῖον πεσών.

264. νυκτοπεριπλάνητε : Οἰκείας ἐντίθησι φωνὰς ψυχῇ ἀνειμένῃ καὶ ἤδη μεθυούσῃ. ἡδίστην δὲ τὴν σύνθεσιν τὴν τοῦ νυκτοπεριπλάνητε ἡ περὶ πρόθεσις εἰργάσατο.)

265. μοιχέ : Διὰ τὸ τοὺς μεθύοντας γίνεσθαι περὶ τὰ ἀφροδίσια. δεῖ δὲ νοεῖν, ὅτι ταῦτα οὐχ ὡς ἐν βλασφημίᾳ λέγεται τὸ μοιχὲ καὶ τὸ παιδεραστά, ἀλλὰ πρὸς διάχυσιν καὶ ἱλαρότητα τοῦ φαλλοῦ. (ὡς καὶ παρ' Ὁμήρῳ [Il. E, 31] πρὸς διάθεσιν ψυχῆς « Ἆρες Ἄρες βροτολοιγέ. »)

266. ἕκτῳ σ' ἔτει προσεῖπον : Ἕκτον γὰρ ἦν λοιπὸν ἔτος, ἀφ' οὗ ὁ πόλεμος Ἀθηναίοις πρὸς Πελοποννησίους συνέστη. δῆμον δὲ ἔφη τὴν κώμην, οὐχ ὡς παρ' Ὁμήρῳ [Il. B, 547] « δῆμον Ἐρεχθῆος. »

270. καὶ Λαμάχων : Ὁ Λάμαχος οὗτος Ἀθηναίων στρατηγὸς, υἱὸς Ξενοφάνους, ὃν, ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι, ἐχειροτόνησαν. ἦν δὲ μετὰ Ἀλκιβιάδου καὶ Νικίου, ὡς ἱστορεῖ Θουκυδίδης διὰ τῆς ς' [c. 8]. ἦν δὲ φιλοπόλεμος οὗτος.

272. ὡρικὴν ὑληφόρον : Ἀντὶ τοῦ ὡραίαν (καὶ ἀκμαίαν. ὥρα γὰρ ἡ ἀκμή. καὶ ὡραῖόν φασιν οἱ τραγικοὶ τὸ ἀκμαῖον. κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. ὡρικὸν δὲ μειράκιον καὶ ὡρικῶς ἐν Δαιταλεῦσιν αὐτός. ἡ δὲ λέξις ἀπόδεκτος.)

273. τὴν Στρυμοδώρου Θρᾷτταν : Ἤτοι κοινῶς δούλην, ἢ οὕτως καλουμένην, τὴν ἐκ Θράκης· ὡς τὴν ἀπὸ Φρυγίας καὶ Παφλαγονίας. φελλεῖς δὲ ἔλεγον οἱ

Ἀττικοὶ τοὺς πετρώδεις τόπους, (οἵτινες κάτωθεν μέν εἰσι πετρώδεις, ἐπιπολῆς δὲ ὀλίγην ἔχουσι γῆν.) οἱ δὲ, ὅτι ὄρος Φελλεὺς οὕτω καλούμενον, ὡς καὶ ἐν Νεφέλαις [71].

274. (μέσην λαβόντ' ἄραντα : Ἐν εἰσθέσει κῶλα τρία ἰσάριθμα, ὧν τὰ δύο ἰαμβικὰ δίμετρα, τὸ δὲ ἓν μονόμετρον.)

275. καταγιγαρτίσαι : Ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν καὶ διαμηρίσαι. γεωργικῶς δὲ παίζει. (ἢ ὅτι τὸ ῥῆμα πρόσκαιρον, ἵνα ἀπὸ τῶν γιγάρτων τὸ μόριον ᾖ πεπλασμένον.) οὐ γὰρ διὰ παντὸς συνουσιάσαι δηλοῖ τὸ καταγιγαρτίσαι. (γίγαρτα δὲ τὰ ἐντὸς τῆς σταφυλῆς ὀστώδη. ἢ ἀντὶ τοῦ συνουσιάσαι. γίγαρτον γὰρ τὸ αἰδοῖον. ἢ καταθλῖψαι, ἀπὸ μεταφορᾶς τῶν γιγάρτων.)

277. (ἐκ κραιπάλης : Ἡ ἐξ ἑωθινοῦ μέθη κραιπάλη καλεῖται. ἢ ἀπὸ χθιζῆς οἰνοποσίας.)

279. ἐν τῷ φεψάλῳ : Ἐν τῷ καπνείῳ. φέψαλοι γάρ εἰσιν οἱ σπινθῆρες, ὡς καὶ ἀλλαχοῦ [Lysistr. 107] δηλοῖ

ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.

(καὶ παρὰ Ἀρχιλόχῳ δὲ κεῖται « πυρὸς δὲ ἦν αὐτῷ φεψάλυξ. » διὰ δὲ τὸ μὴ δεῖσθαι ἀσπίδος εἰρήνης γενομένης, ἔφη ἐν φεψάλῳ κρεμήσεται ἡ ἀσπὶς, παρὰ τὸ) Ἡσιόδειον [Op. 45]

αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο.

(καὶ τί δεῖ περὶ ἀσπίδος καὶ πηδαλίου λέγειν, ὅπου γε καὶ περὶ ἀχρήστων βουλευμάτων ταύτην ἐξήνεγκε τὴν γνώμην ὁ ποιητὴς εἰπὼν [Il. B, 340]

ἐν πυρὶ δὲ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν.

περὶ δὲ ὅπλων ἐπιμελείας ἀξιουμένων τοὐναντίον ἔθηκεν [Od. II, 288]

ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει.)

284. Ἡράκλεις : Βαλλόμενος λίθοις ὁ Δικαιόπολις ὑπὸ τοῦ χοροῦ φησιν Ἡράκλεις. ὡς ἀλεξίκακον τὸν Ἡρακλέα καλεῖ. πάνυ δὲ κινεῖ γέλωτα, τῆς μὲν κεφαλῆς αὐτοῦ ἀφροντιστῶν, τῆς δὲ χύτρας προνοούμενος, ἐν ᾗ τὸ ἔτνος ἦν. (τῷ δὲ συντρίβειν καὶ Μένανδρος κέχρηται ἐν Λευκαδίᾳ καὶ ἐν Ἀσπίδι· « ἔχων τὴν ἀσπίδα ἔκειτο συντετριμμένην. » σχετλιαστικὴ δὲ καὶ ἡ τοῦ Ἡράκλεις φωνή. οὗτος γὰρ ὁ θεὸς εἰς ἐπικουρίαν ἐκαλεῖτο ὡς ἀλεξίκακος τοῖς δεινὰ πάσχουσιν.

Ἡράκλεις : Διπλῆ, εἶτα ἕπεται δυὰς μονοστροφικὴ ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους ἐκ στίχων δύο τροχαϊκῶν τετραμέτρων καταληκτικῶν, καὶ κώλων η', ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει, τὰ δὲ κῶλα ὁ χορός. πρῶτος τοίνυν ἐστὶν ἐν ἐκθέσει κατὰ τὸ ἴσον τοῖς χορικοῖς, ἃ ποιεῖ δοχμὸν συζυγίαν καὶ παίωνας τρεῖς καὶ διαίρεσιν. τῷ δὲ δικώλῳ τούτῳ τὸ μὲν πρῶτόν ἐστιν

ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα.

τὸ δὲ τῆς δευτέρας « οὗτοί σοι χαμαί. » ἕπεται δὲ τοῖς δυσὶ κώλοις στίχος τροχαῖος ὅδε « ἀντὶ ποίας αἰτίας. » καὶ ἐν εἰσθέσει τὰ λοιπὰ κῶλα ς' παιωνικὰ δίρρυθμα.)

285. ὦ μιαρὰ κεφαλή : Ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα, παραπλησίως Ὁμήρῳ [Il. Θ, 281] « Τεῦκρε, φίλη κεφαλή. » καὶ [Od. A, 343] « τοίην γὰρ κεφαλήν. » καὶ παρὰ Δημοσθένει [p. 552] « καὶ τοῦτ' ἔλεγες, ὦ μιαρὰ κεφαλή. »

290. ἡμῶν μόνος : χωρὶς ἡμῶν τῶν Ἀθηναίων· ἢ μόνος ἐξ ἡμῶν. R.

295. χώσομεν τοῖς λίθοις : Τοιοῦτο καὶ τὸ Ὁμηρικὸν [Il. Γ, 57] « λάϊνον ἕσσο χιτῶνα. » ἐν ἤθει γὰρ αὐτὸ μετεποίησεν. Ἀλέξανδρος μὲν γὰρ ἄξιος τῶν λίθων, Λακεδαιμονίας ἐρασθεὶς γυναικὸς ἐπὶ συμφορᾷ τῆς πατρίδος. οὗτος δὲ εἰρήνης ἐρᾷ ἐπ' ἀγαθῷ τῆς πατρίδος.

296. μηδαμῶς, πρίν γ' ἀκούσητε : Μεγαλοφρόνως καὶ γενναίως οὐ παραιτεῖται τὸν θάνατον, ἀλλὰ πρῶτον εἰπεῖν ἀξιοῖ, καὶ τότε ἀποθανεῖν, ἐὰν ᾖ δίκαιον.

297. οὐκ ἀνασχήσομαι : Ὅτι τινὲς τὸ ἀνασχήσομαι ὡς ἔκφυλον νομίζουσιν· ἐχρήσατο δὲ αὐτῷ καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (Suid. Ἀριστοκράτους). οὐ δεῖ οὖν μόνον λέγειν ἀνέξομαι.

298. Κλέωνος : Ἐμισεῖτο γὰρ ὁ Κλέων ὡς συνταράττων τὰ κοινά. R.

300. ὃν ἐγὼ κατατεμῶ : (Ἐνταῦθα πάλιν περιττεύει τὸ ποτὲ διὰ τὴν μετροποιίαν, καὶ ἔτι πρὸς τὴν ἐξήγησιν, οὐ ποτὲ τέμνει τὸν Κλέωνα Ἀριστοφάνης, ἀλλ' ἀεί. ὡς οὖν ἄνω τὸ νῦν περιττεύει, οὕτως ἐνταῦθα τὸ ποτέ. ἔστι γὰρ τοῦ αὐτοῦ μέτρου τὸ κῶλον. καττύματα δὲ ἐστὶ δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.) οἰκεία δὲ ἡ ἀπειλὴ κατὰ τοῦ Κλέωνος. βυρσοδέψης γὰρ οὗτος. ὅτι δὲ τοῖς ἱππεῦσιν ἦν τις ἔχθρα πρὸς Κλέωνα, καὶ διὰ τῆς ἀρχῆς δεδήλωκε (7) « καὶ φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὔργον. »

303. σοῦ δ' ἐγὼ λόγους λέγοντος : (Ἕπεται τῇ δυάδι δίστιχον, ὃ τοῖς μέλεσιν ἐξ ἔθους ὑπάγουσιν, ὅπερ ἐστὶ τετράμετρον τροχαϊκὸν καταληκτικόν.) οὐ λέγει ὅτι τοὺς μὲν μακροὺς οὐ προήσομαι, ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους, ἀλλ' ὅτι πάντες οἱ λόγοι μακροὶ πεφύκασι κρινόμενοι πρὸς πρᾶξιν, εἰ πέπρακται.

306. τῶν δ' ἐμῶν σπονδῶν : Λείπει ἡ περί. οὐ βούλεται δὲ αὐτοὺς τῶν Λακεδαιμονίων μνημονεύειν, διὰ τὸ ἐνθυμουμένους τὰ ὑπ' αὐτῶν γεγενημένα ὀργίλως καθίστασθαι.

308. οὔτε πίστις, οὔθ' ὅρκος : (Ἐπὶ ἀπιστίᾳ γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι. καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ [445]

Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια.

τρία δὲ ἐγκλήματα παραβασίας προσέθηκεν αὐτοῖς.) αἱ γὰρ συνθῆκαι διὰ τριῶν τελοῦνται, λόγων, ἔργων, χειρῶν. λόγων μὲν, οἷον δι' ὅρκου. ἔργων δὲ, διὰ τῶν ἐν βωμοῖς θυσιῶν. χειρῶν δὲ, ἐπειδὴ αἱ πίστεις διὰ τῶν δεξιῶν γίνονται. καὶ Ὅμηρος [Il. B, 341] « καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν. »

309. οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας : Πάνυ δεινῶς καὶ τεθαρρηκότως ἐχρήσατο τῇ ἐπαναλήψει, καὶ οὐ κατέπτηξεν οὐδὲ ηὐλαβήθη ἐν τοσούτοις ὑπὲρ τῶν ἐχθρῶν εἰπών, ὅτι οὐ μόνον οὐκ ἠδίκησαν κατὰ πάντα, ἀλλ' ὅτι καὶ ἐν τοῖς ἀδικηθεῖσι ταχθεῖεν ἄν.

315. ταραξικάρδιον : Αὐξήσει κέχρηται εἰπὼν ταραξικάρδιον. ἔστι γάρ τι δεινὸν, ὃ μὴ οὕτως ἐστὶ δεινὸν, ὡς δάκνειν (καὶ ταράττειν τὴν καρδίαν. ὅπερ δὲ τῇ καρδίᾳ ταραχὴν ἐμποιήσειεν ἄν, τοῦτο ἀναμφιβόλως δεινότατον νομίζοιτο ἄν).

317. (κἂν γε μὴ λέγω δίκαια : Τοῦτο δεινὸν καὶ προσκρουστικὸν, ἐπειδὴ οἱ στρατηγοῦντες καὶ δημαγωγοῦντες κωλυταὶ τῆς εἰρήνης ἐγίνοντο.)

318. ὑπὲρ ἐπιξήνου : Ἐπίξηνος καλεῖται ὁ μαγειρικὸς κορμὸς, ἐφ' οὗ τὰ κρέα συγκόπτουσιν.

320. μὴ οὐ καταξαίνειν : Μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάσσειν, ὥστε φοινικοῦν αὐτῷ ποιῆσαι τὸ σῶμα. τὸ δὲ καταξαίνειν ὡς ἐπὶ ἐρίων ἔθηκε. διὸ καὶ φοινικίδα εἶπεν ὡς ἐπὶ ἱματίου. (Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ, χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικὸν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. τὸ οὖν ἐν φοινικίδι ἀντὶ τοῦ ἐν τάξει πολεμίων, ἀπὸ τοῦ φορήματος δηλώσειεν ἂν εἰκότως, ἐπεὶ τὸ φοινιχθῆναι αἱμαχθῆναι, δίκην φοινικοβαφοῦς ἐνδύματος. καὶ τὸ ξαίνω ῥῆμα καὶ παρὰ Δημοσθένει κεῖται ἐν τῷ κατ' Αἰσχίνου περὶ τῆς παραπρεσβείας [p. 403, 3] « εἰπούσης τι καὶ δακρυσάσης ἐκείνης, περιρρήξας τὸν χιτῶνα ὁ οἰκέτης, ξαίνει κατὰ τοῦ νώτου πολλάς. »)

καταξαίνειν : Ξαίνει, διαξέει, νήθει, σωρεύει, ἐργάζεται ἔρια, καὶ δέρρειν ἱμάντι. *Vict.*

321. θυμάλωψ : Ὁ διακεκαυμένος ἀναβάτης. (ὁ ἀπολελειμμένος τῆς θύψεως ἄνθραξ, ὁ ἡμίκαυτος. ξύλον καὲν, σπινθήρ, ἢ διακεκαυμένος ἄνθραξ.) χαριέντως δὲ εἶπεν, ἐπεὶ ἀνθρακεῖς εἰσιν οἱ Ἀχαρνεῖς. ἀντὶ γὰρ τοῦ εἰπεῖν, οἴως ἐξεκαύθητε, θυμάλωψ ἐπέζεσεν.

322. Ἀχαρνηίδαι : Τὴν Ὁμηρικὴν παράφρασιν πολιτικῶς μιμεῖται « υἷες Ἀχαιῶν· » ἐν μιᾷ λέξει προεισενεγκάμενος τὸ ὄνομα ὅλον, ὦ Ἀχαρνέων παῖδες.

326. ἀνταποκτενῶ : Ταῦτα λέγει τινὸς τῶν Ἀχαρνέων ἁρπάσας κόφινον γερόντων, ἐν ᾧ τοὺς ἄνθρακας φέρουσιν, ὃν βούλεται ξίφει διαχρήσασθαι. σκώπτει δὲ τοὺς Ἀχαρνέας ὡς ἀνθρακοκαύστας.

327. ὁμήρους : Ὁμήρους ἐκάλουν καὶ ὅμηρα τὰ ἐπὶ συνθήκαις διδόμενα (ἐνέχυρα).

330. ἔνδον εἵρξας : Ἀποκλείσας. δασέως δὲ τοῦτο Ἀττικοί. (τὸ μέντοι παρ' Ὁμήρῳ [Il. Φ, 282] « ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ » ψιλῶς. τὸ δὲ ἕρξας δασέως ἀναγινώσκομεν, ὅταν τὸ πράξας δηλοῖ [Od. Σ, 197]

ἦ μὲν ἄρ' ὡς ἔρξασ' ἀπεβήσατο δῖα θεάων.

τὸ δὲ ἐπὶ τῆς εἱρκτῆς δασέως Ἀττικοί.)

332. εἴσομαι δ' ὑμῶν : Ψίαθον ἀνθράκων προσενήνοχεν, ὅν φησι παῖδα εἶναι τῶν Ἀχαρνέων πάνυ κωμικώτατα. (τὰ δὲ μεγάλα πάθη ὑποπαίζει τῆς τραγῳδίας, ἐπεὶ καὶ ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον, ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών. παραπλήσιον δέ τι καὶ ἐν ταῖς Θεσμοφοριαζούσαις ἐποίησεν. ὁ γὰρ Εὐριπίδου κηδεστὴς Μνησίλοχος ἐπιβουλευόμενος παρὰ τῶν γυναικῶν, ἀσκὸν ἁρπάσας παρά τινος γυναικὸς ὡς ἂν παιδίον ἀποκτεῖναι βούλεται. τὸ δὲ εἴσομαι ἀντὶ τοῦ γνώσομαι· ὡς καὶ παρ' Ὁμήρῳ [Il. Θ, 532]

εἴσομαι, αἴκε μ' ὁ Τυδείδης κρατερὸς Διομήδης.)

333. ὁ λάρκος δημότης : Πλέγμα τι κοφινῶδες ἢ ψιαθῶδες, ἐν ᾧ φέρουσι τοὺς ἄνθρακας.

334. μηδαμῶς ὦ μηδαμῶς : Τοῦτο ἀποσιώπησις καλεῖται. ἔχεις καὶ παρὰ Δημοσθένει [p. 232, 20] τὸ ὅμοιον « ἀλλ' ὦ τί ἂν σε τις εἰπὼν ὀρθῶς προσείποι; »

336. ἀπολεῖς ἄρα τὸν ἥλικα : Ἤτοι τὸν λάρκον, ἢ ἐμὲ τὸν σοῦ αὐτοῦ ἥλικα, διὰ τῆς τοῦ λάρκου σφαγῆς. (διπλαῖ δὲ δύο. ἡ ὅτι ἡ ἑτέρα ἕπεται δυάς, ἡ ἀντιστρέφουσα τῇ ἀποδεδομένῃ, ἧς ἡ ἀρχὴ « ὡς ἀποκτενῶ κέκραχθε. » τέλος δὲ τῆς πρώτης « οὐ προδώσω ποτέ. » τῆς δὲ δευτέρας « τῇ στροφῇ γίνεται. »)

338. ἀλλὰ νῦν λέγ', εἴ σοι : Ἐπιτρέπουσιν αὐτῷ λέγειν, ἵνα μόνον ἀφῇ τὸν λάρκον.

339. ὅτι τῷ τρόπῳ σοῦ 'στιν : Ἀντὶ τοῦ εἰπὲ καὶ ὅτῳ τρόπῳ ὁ Λακεδαιμόνιός ἐστί σοι φίλος. ἢ οὕτως· εἰπὲ, τί σου τῷ τρόπῳ φίλον ἐστὶ περὶ Λακεδαιμονίων. (τὸ δὲ ἑνικὸν ἀντὶ τοῦ πληθυντικοῦ προηνέγκατο, ἀντὶ τοῦ περὶ Λακεδαιμονίων. τὸ ὅμοιον καὶ παρὰ τῷ ῥήτορι ἐν τῷ πρώτῳ τῶν Φιλιππικῶν [p. 13, 4 ?] « ἀλλὰ μὴν τόν γε Παίονα καὶ Ἰλλυριόν. »)

341. ἐξεράσατε : Ἀντὶ τοῦ ἐκκενώσατε, ἐκβάλετε, ἀπορρίψατε. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς ἔρας, τουτέστι τῆς γῆς.

342. οὑτοιί σοι χαμαί : Κωμῳδεῖ καὶ διασύρει τοὺς Ἀθηναίους ὡς καὶ ταχέως θυμουμένους καὶ ταχέως παυομένους.

345. ἀλλὰ κατάθου τὸ βέλος : Σημειωτέον ὅτι ἐπὶ ξίφους τὸ βέλος τέθεικε. (καὶ Ὅμηρος πᾶν τὸ βαλλόμενον.)

343. ἐγκάθηνταί που λίθοι : Ἐγκεκρυμμένοι εἰσίν· οἱ γὰρ κρυπτόμενοι ὑποκάθηνται.

344. ἐκσέσεισται : Ἢ ὁ κόλπος, ἢ ὁ τρίβων.

346. ὡς ὅδε γε σειστός : (Χορεύουσιν ἅμα καὶ κόρδακα ἐνδείκνυνται. τὸ λεγόμενον οὕτως ἐπὶ τῆς κωμικῆς ὀρχήσεως.) ἀναστρεφόμενοι δὲ ἀποτινάσσουσι τοὺς χιτῶνας, ἀποδεικνύντες ὡς μηδένα τῶν λίθων ἀποκεκρυμμένον ἔχουσι. (λέγεται δὲ στροφὴ τῶν κώλων τὸ σύστημα. γράφεται καὶ στρόφιγγι.)

347. ἐμέλλετ' ἄρα : Ἠθικώτατα καὶ ἥδιστα πρὸς τοὺς ἐν τῷ λάρκῳ ἄνθρακας διαλέγεται, (λέγων ὅτι ἐμέλλετε μετὰ βοῆς ἀνασείειν, ὡς τῆς τοῦ λάρκου ῥήξεως μετὰ βοῆς μελλούσης γίνεσθαι. — ἐμέλλετ' ἄρα πάντες, ὑφ' ὃ διπλῆ, καὶ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ ια'.)

348. ἄνθρακες Παρνάσσιοι : Ἀντὶ τοῦ μεγάλοι, ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς. (Πάρνης γὰρ ὄρος τῆς Ἀττικῆς χορηγίαν ἔχον πολλῶν ξύλων. ἔπαιξεν οὖν Παρνασσίους εἰπών, ὡς ἀπὸ τόπου Παρνασσοῦ τὴν λέξιν παραγαγών, ἵνα ὑποδηλώσῃ τοὺς ἱερούς. ὁ γὰρ Παρνασσὸς ὄρος Φωκίας ἐστὶ ἱερὸν Ἀπόλλωνος καὶ Διονύσου. — Παρνάσσιοι ἀντὶ τοῦ μεγάλοι. τὸν γὰρ Παρνασσὸν ἐπὶ τοῦ μεγάλου ἐτίθεσαν. οἱ δὲ τοὺς ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς ἄνθρακας.)

350. ὑπὸ τοῦ δέους τῆς μαρίλης : Ἡ ἐξ ἀνθράκων τέφρα μαρίλη λέγεται. μαρίλης οὖν ἀντὶ τοῦ τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς ἐπαφῆκεν ὁ λάρκος ὑπὸ ἀγωνίας, ὥσπερ ἡ σηπία τὸ μέλαν. (θηρώμεναι γὰρ αἱ σηπίαι ἐπαφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς μέλανος, ταράττειν βουλόμεναι τὸν παρ' αὐταῖς τόπον, ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσιν.)

352. ὀμφακίαν : Ἀντὶ τοῦ ὠμὸν καὶ σκληρόν. μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. (οὕτως δὲ αἱ σταφυλαὶ δριμεῖαι οὖσαι καὶ οὔπω πέπειροι καλοῦνται. ἐκ γὰρ τοῦ ἐναντίου πέπανον τὸ ἥμερον καὶ ἡδύ. θηλυκῶς δὲ καὶ τὰς ὄμφακας λέγει. ἔχεις παρὰ Πλάτωνι κωμικῷ ἐν δράματι Ἑορταῖς

καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας.)

354. μηδὲν ἴσον ἴσῳ : Ἀντὶ τοῦ δίκαιον καὶ ἐξ ἴσου. ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς τὸ ὕδωρ ἴσον. λέγει δὲ κατ' ἴσον εἰπεῖν τε καὶ ἀκοῦσαι.

355. ἐμοῦ θέλοντος : Τὸ ἑξῆς οὕτως· λέγειν ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου πάντα, ὅσ' ἂν λέγω ὑπὲρ Λακεδαιμονίων.

358. (τί οὖν λέγεις : Διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χορικοῦ πεντάκωλον δοχμίαν· ὧν διπλῶν μὲν τῶν δύο πρῶτον, ἁπλῶν δὲ τριῶν τὸ λοιπόν. Ἄλλως. εἴσθεσις χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν « τί ταῦτα στρέφεις. » καὶ ἔστιν ἐκ κώλων παιωνικῶν ἕξ, ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις· ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν ἐκ βακχείων. τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν. τὸ τρίτον δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερές. τὸ τέταρτον ἡμιόλιον ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ πέμπτον δίμετρον καταληκτικὸν ἐκ βακχείου. τὸ ἕκτον ἡμιόλιον ὅμοιον τῷ τετάρτῳ. ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι β' ὅμοιοι τοῖς ἑξῆς ιθ'. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα.)

362. λείπει τὸ μαθεῖν, ἵνα ᾖ πάνυ γὰρ πόθος με ἔχει μαθεῖν ὅ τι φρονεῖς καὶ δικαιολογίζῃ. R.

364. ἀλλ' ἧπερ : Τὸ ἧπερ ἀντὶ τοῦ ὥσπερ, καθάπερ.

366. ἰδοὺ θεᾶσθε : Ἐφ' ἑαυτοῦ ταῦτα ὁ Δικαιόπολις λέγει. διὰ δὲ τῶν λελεγμένων ὁ κωμικὸς ἡμᾶς παιδεύει ὡς χρὴ τοὺς λέγοντας οὐκ ἀπὸ τοῦ μεγέθους τῶν σχημάτων σκοπεῖν, ἀλλ' ἐπ' ἐκεῖνα ἀφ' ὧν λέξειν ἔμελλον. τὸ δὲ τυννουτοσὶ δεικνὺς τὸν δάκτυλον τὸν μικρὸν λέγει.

368. οὐκ ἐνασπιδώσομαι : Ἀντὶ τοῦ οὐ καθοπλίσομαι, οὐκ ἀσπίδι περιβαλοῦμαι σεμνυνόμενος, (ἢ σκευασθήσομαι, ἐπειδὴ βραχύς εἰμι. βούλεται δὲ εἰπεῖν ὅτι οὐ παρασκευάσομαι ἐπιπολύ.)

373. ἀνὴρ ἀλαζών : Διαβάλλει τοὺς ῥήτορας.

374. ἀπεμπολώμενοι : Πιπρασκόμενοι διὰ τῆς κολακείας. τοῦτο δέ φησι διὰ τὸ εὐχερῶς πείθεσθαι τοῖς ῥήτορσι τοὺς Ἀθηναίους ἀπατῶσιν αὐτούς.

375. τῶν τ' αὖ γερόντων οἶδα : Τῆς τῶν γερόντων φιλοδικίας καὶ τῆς περὶ τὸ καταγινώσκειν ἑτοιμότητος ὅλον.

376. ψήφῳ δακεῖν : Οἷον καταδικάζειν. πανταχοῦ ὡς φιλοδίκους καὶ πρὸς τὸ καταδικάζειν ἑτοίμους τοὺς Ἀθηναίους κωμῳδεῖ.

377. αὐτός τ' ἐμαυτόν : Ὡς ἀπὸ τοῦ προσώπου τοῦ ποιητοῦ ὁ λόγος.

378. διὰ τὴν πέρυσι κωμῳδίαν : Τοὺς Βαβυλωνίους λέγει. τούτους γὰρ πρὸ τῶν Ἀχαρνέων Ἀριστοφάνης ἐδίδαξεν, ἐν οἷς πολλοὺς κακῶς εἶπεν. ἐκωμῴδησε γὰρ τάς τε κληρωτὰς καὶ χειροτονητὰς ἀρχάς, καὶ Κλέωνα, παρόντων τῶν ξένων. (εἶπε γὰρ δρᾶμα τοὺς Βαβυλωνίους τῇ τῶν Διονυσίων ἑορτῇ, ἥτις ἐν τῷ ἔαρι ἐπιτελεῖται, ἐν ᾧ ἔφερον τοὺς φόρους οἱ σύμμαχοι.) καὶ διὰ τοῦτο ὀργισθεὶς ὁ Κλέων ἐγράψατο αὐτὸν ἀδικίας εἰς τοὺς πολίτας, ὡς εἰς ὕβριν τοῦ δήμου καὶ τῆς βουλῆς ταῦτα πεποιηκότα. καὶ ξενίας δὲ αὐτὸν ἐγράψατο καὶ εἰς ἀγῶνα ἐνέβαλεν. (τὰ δὲ Λήναια ἐν τῷ μετοπώρῳ ἤγετο, ἐν οἷς οὐ παρῆσαν οἱ ξένοι, ὅτε τὸ δρᾶμα τοῦτο οἱ Ἀχαρνεῖς ἐδιδάσκετο.)

381. κἀκυκλοβόρει : Ἐνταῦθα κατέμιξε τὴν κωμῳδιακὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ λέγειν ψευδῆ καὶ πλύνειν εἴποι τις ἂν τῶν περὶ τὰ δικαστήρια ταῦτα λέγειν δεινῶν. τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας. Κυκλόβορος δὲ ποταμὸς ἐν Ἀθήναις χείμαρρος ἄγαν ἠχῶν, ὡς ἐν τοῖς εἰς τοὺς Ἱππεῖς [137] εἴρηται.

384. ἐνσκευάσασθαί με : Ἀντὶ τοῦ πτωχικὴν ἀναλαβεῖν ἐσθῆτα, ὡς ἀπὸ τοῦ σχήματος ἐλεεινότατόν με καὶ ἀθλιώτατον εἶναι δοκεῖν. τὰ γὰρ σεμνὰ τῶν σχημάτων καὶ φθόνον ἐπάγει.

385. (τί ταῦτα στρέφει : Ἀντὶ τοῦ τεχνάζῃ, μεταβάλλῃ, καὶ μετὰ τέχνης καὶ ποικιλίας προσέρχῃ.)

388. παρ' Ἱερωνύμου : Οὗτος ὁ Ἱερώνυμος μελῶν ἐστι ποιητὴς καὶ τραγῳδοποιὸς ἀνώμαλος (καὶ ἀνοικονόμητος, διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις, καὶ φοβεροῖς προσωπείοις χρῆσθαι· ἐδόκει δὲ κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν. διόπερ Ἄϊδος κυνῆν ἔφη αὐτόν, παίξας κωμῳδικῶς ὡς κουριῶντα.)

391. τὰς Σισύφου : Δριμύν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν Σίσυφον, διὰ μιᾶς λέξεως παρ' Ὁμήρου [Il. Z, 153] δεδιδαγμένοι

ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν.

392. σκῆψιν : Ἤγουν πρόφασιν. *Vict.*

394. Καί μοι βαδιστέ' ἐστίν : Μεταβολὴ γέγονε τόπου ὡς ἐπὶ τὴν οἰκίαν Εὐριπίδου. βαδιστέα δὲ ἀντὶ τοῦ

βαδιστέον. (τὰ δὲ τοιαῦτα σχηματίζουσι καὶ πληθυντικῶς λεγόμενα. καὶ ἐν Πλούτῳ [1086]

συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.

ἀντὶ τοῦ συνεκποτέον. καὶ Θουκυδίδης [1,79] « πολεμητέα τοῖς Ἀθηναίοις εἶναι. »)

395. τίς οὗτος : Τοῦ Δικαιοπόλιδος κρούσαντος τὴν θύραν Κηφισοφῶν ὑπακούει.

396. οὐκ ἔνδον : Οἰκείως ἐξομοιοῖ τὸν οἰκέτην τῷ δεσπότῃ. τὸ δὲ, εἰ γνώμην ἔχεις, ἀντὶ τοῦ, εἰ φρόνιμος εἶ καὶ συνετός.

398. ὁ νοῦς μὲν ἔξω συλλέγων : (Σκώπτει πάλιν τὸν Εὐριπίδην διὰ τὸ ἐν τοῖς λόγοις εἶναι συλλογιστικὸν, καὶ οὗ ἂν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα, οἷον [Hippol. 612]

ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.)

οἷον, αὐτὸς μὲν ἔσω ἐστὶν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται. (παρατηρητέον δὲ ὅτι ὁ Εὐριπίδης ἐνταῦθα νοεῖται τὸ αὐτός. ἐπύλλια δὲ ἰαμβεῖα. Ἄλλως. Ὁμηρικῶς. ὁ γὰρ ποιητὴς διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα, εἰπών·

πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν
ἡρώων, αὐτοὺς δ' ἑλλώρια τεῦχε κύνεσσιν.

οὕτω καὶ ὁ Ἀριστοφάνης. εἶπε γὰρ, ὁ νοῦς μὲν ἔξω, αὐτὸς δὲ ἔνδον. τὸ δὲ) ἀναβάδην, ἄνω τοὺς πόδας ἔχων ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. (κακοσχόλως δὲ εἶπε. τρυγῳδίαν δὲ εἶπεν ἀντὶ τοῦ κωμῳδίαν, διὰ τὸ τοῖς νικῶσι κωμικοῖς τρύγα δίδοσθαι, τουτέστι νέον οἶνον.)

400. ὦ τρισμακάριε : Θαυμάζων τὸν Κηφισοφῶντα ὁ Δικαιόπολις ἐφ' οἷς εἶπε τοῦτό φησι. καὶ Ὅμηρος « τρισμάκαρες [Od. Z, 155] Δαναοί. »

401. ὅθ' ὁ δοῦλος οὑτοσί : Διὰ τοῦ δοκοῦντος ἐπαίνου διαβάλλει τὸν Εὐριπίδην, (ὅτι δεινοὺς εἰσάγει τοὺς δούλους ἐν ταῖς τραγῳδίαις.)

404. (Εὐριπίδιον : Ἐρωτικὰς μιμεῖται φωνάς. οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους ἐρωτικῶς δι' ὑποκοριστικῶν καλεῖν.)

405. εἴπερ : ὑπήκουσας δηλονότι. R.

406. Χολλίδης ἐγώ : Δῆμος τῆς Αἰγηΐδος φυλῆς. ἢ παίζει διὰ τὸ χωλοὺς εἰσάγειν.

407. (οὐ σχολή : Ἐν ἐκθέσει μονόμετρον ἰαμβικὸν, μεθ' ὃ ἐκθέσεις εἰς στίχους ἰαμβικοὺς ἀκαταλήκτους τριμέτρους.)

408. ἀλλ' ἐκκυκλήθητι : Εἰ μὴ σχολὴν ἔχεις κατελθεῖν, ἀλλ' ἐκκυκλήθητι, τουτέστι συστράφηθι. ἐκκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον τροχοὺς ἔχον, ὅπερ περιστρεφόμενον τὰ δοκοῦντα ἔνδον ὡς ἐν οἰκίᾳ πράττεσθαι καὶ τοῖς ἔξω ἐδείκνυε, λέγω δὴ τοῖς θεαταῖς. βούλεται οὖν εἰπεῖν ὅτι κἂν φανερὸς γενοῦ. διὸ ἐπήνεγκεν

ἀλλ' ἐκκυκλήσομαι, καταβαίνειν δ' οὐ σχολή.

410. ἀναβάδην ποιεῖς : Φαίνεται γὰρ ἐπὶ τῆς σκηνῆς μετέωρος. (τὸ δὲ ἀναβάδην ἀντὶ τοῦ ἄνω τοὺς πόδας ἔχων.)

τί λέλακας : Ἀντὶ τοῦ κέκραγας. (λακεῖν γάρ ἐστι τὸ πονεῖν. καὶ ὁ ποιητὴς [Il. Υ, 277] « λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς· » [Il. N, 616] « λάκε δ' ὀστέα. » καὶ [Od. M. 85] « δεινὸν λελακυῖα. » τραγικὴ δ' ἡ λέξις.)

411. ἐξόν : Δυνατοῦ ὄντος. *Vict.*

412. τὰ ῥάκια : Οὕτως αὐτὸν ἐσκευοποίησεν ἐν ῥακίοις καθεζόμενον καὶ ποιοῦντα τὰς τραγῳδίας. κωμῳδεῖ οὖν αὐτὸν ὡς πτωχοὺς καὶ ταπεινοὺς εἰσάγοντα τοὺς ἥρωας.

415. παλαιοῦ δράματος : Τοῦ Τηλέφου. (ἀμφίβολον δὲ τὸ παλαιὸν πῶς ἔφη. δηλοῖ γὰρ καὶ τὸ πρὸ πολλοῦ χρόνου παρ' Ὁμήρῳ [Il. Z, 215]

ἦ ῥά νύ μοι ξεῖνος πατρώϊος ἐσσὶ παλαιός.

παλαιὸν δὲ καὶ τὸ διερρυηκὸς, ὡς τὸ [Od. A, 395]

πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ ἠμὲν νέαι ἠδὲ παλαιαί.)

416. ῥῆσιν μακράν : Τὸ μακρὸν οὐκ ἀργῶς αὐτῷ λέλεκται, ἀλλ' ἐπειδὴ καὶ τοὺς ἀγγέλους καὶ τοὺς προλόγους μακρολογοῦντας εἰσάγει Εὐριπίδης, πρὸς αὐτὸν ὁ λόγος ἀποτείνεται.)

418. τὰ ποῖα τρύχη : Γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστράτευσιν Διομήδους κατὰ Θηβαίων ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς διὰ τὸ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων, καὶ περιῄει ταπεινὸς, ἄχρις οὗ ἐπανελθὼν ὁ Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ παρέδωκε. (τρύχη δὲ τὰ ῥάκη τραγικῶς.) ὡς προκειμένου τοῦ προσώπου Οἰνέως. R.

421. τὰ τοῦ τυφλοῦ Φοίνικος : (Φοίνικα λέγει τὸν Ἀμύντορος.) λακίδας δὲ, τὰ διερρωγότα ἱμάτια.

423. λακίδας : Λακὶς, ῥαχὰς, ἐμβολὴν, ῥαφὴ, τραῦμα, σχίσμα. *Vict.*

424. Φιλοκτήτου : Εἰσήγαγε γὰρ τὸν Φιλοκτήτην ἐν τῇ Λήμνῳ πενόμενον.

425. (πτωχιστέρου : Συνήθως αὐτὸ παρεσχημάτισεν. ὡς γὰρ λαλίστερον, καὶ ψευδίστερον, οὕτω καὶ πτωχίστερον.)

426. τὰ δυσπινῆ : Τὰ ἐρρυπωμένα, τὰ ῥυπαρά. πίνος γὰρ ὁ ῥύπος. εἰσήγαγε γὰρ καὶ τοῦτον καταβληθέντα ἐκ τοῦ Πηγάσου καὶ ἐρρυπωμένα ἱμάτια ἔχοντα. οὑτοσὶ δ' εἶπεν· ἔκειτο γὰρ καὶ πλησίον τοῦ Βελλεροφόντου. (ἐπίτηδες δὲ ταῦτα ἐποίησεν, ἵνα διέλθῃ πάντας ὅσους ἐποίησε πτωχοὺς ῥάκια ἐνδεδυμένους.)

429. προσαιτῶν : Οὐκ εἶπεν αἰτῶν, ἀλλὰ προσαιτῶν. οὕτως γὰρ λέγεται.

432. ῥακώματα : Τὰ ἱμάτια. κυρίως δὲ τὰ ῥάκη ὡς ἐπὶ βιβλίων τινῶν ἢ ῥακῶν. R.

433. (τῶν Θυεστείων ῥακῶν : Ἤτοι τὰ τῶν Κρησσῶν, ἢ αὐτοῦ τοῦ Θυέστου.)

434. ἐξήγαγεν ὁ θεράπων τὰ ῥάκη. R.

435. ὦ Ζεῦ διόπτα : Ταῦτά φησιν, ἐπεὶ πολύτρητα ἦν τὰ ῥάκια, δι' ὧν ἦν πάντα ἐπισκοπῆσαι. — καὶ ὁ Ζεὺς δὲ παντεπόπτης λέγεται. R.

436. ἐνσκευάσασθαί με : (Λείπει τὸ ποίησον.) διασύρει δὲ ὅτι οὐκ ἐχρῆν ταῦτα ἐπὶ σκηνῆς ἄγειν.

439. τὸ πιλίδιον : (Πρὸς τοὺς νῦν ὑποκριτὰς, ὅτι χωρὶς πίλου εἰσάγουσι τὸν Τήλεφον. τὸ δὲ τοῦ Τηλέφου) πιλίδιον τὸ νῦν καλούμενον καμελαύκιον.

440. (δεῖ γάρ με δόξαι : Οἱ δύο στίχοι οὗτοι ἐκ Τηλέφου Εὐριπίδου.)

441. φαίνεσθαι δὲ μή : Τουτέστι μὴ ἀλλάξαι τὴν φύσιν, ἀλλὰ τὴν μορφήν.

442. (τοὺς μὲν θεατάς : Ἵν' εἴπῃ τῶν μὲν θεατῶν τὸ εὐπαίδευτον, τῶν δὲ χορευτῶν τὴν ἀμουσίαν.

443. τοὺς δ' αὖ χορευτάς : Καὶ διὰ τούτων τὸν Εὐριπίδην διασύρει. οὗτος γὰρ εἰσάγει τοὺς χοροὺς οὔτε τὰ ἀκόλουθα φθεγγομένους τῇ ὑποθέσει, ἀλλ' ἱστορίας τινὰς ἀπαγγέλλοντας, ὡς ἐν ταῖς Φοινίσσαις, οὔτε ἐμπαθῶς ἀντιλαμβανομένους τῶν ἀδικηθέντων, ἀλλὰ μεταξὺ ἀντιπίπτοντας.)

444. σκιμαλίσω : Ἐξουθενίσω. ἢ χλευάσω. τῷ μικρῷ δακτύλῳ (ὡς τῶν γυναικείων πυγῶν ἅψομαι. εἴρηται δὲ ἡ λέξις καὶ ἐν Εἰρήνῃ [549]. ἐλέγετο δὲ σκιμαλίζειν τὸ τῷ μικρῷ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι εἰ ὠοτοκοῦσιν.)

446. (εὐδαιμονοίης : Παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου

καλῶς ἔχοιμι, Τηλέφῳ δ' ἁγὼ φρονῶ.)

452. γλίσχρος : Ἀντὶ τοῦ ταπεινὸς κόλαξ. προσαιτῶν δὲ ἀντὶ τοῦ πολλὰ αἰτῶν. (τοῦ δὲ λιπαρεῖν τὸ ι ἐκτείνεται. ἔστι γὰρ τὸ λίαν παρεῖναί τισι.)

λιπαρῶν : Παρακαλῶν. *Vict.*

453. διακεκαυμένον λύχνῳ : Ὅτι οἱ πρεσβῦται διὰ τὸ μόλις βαδίζειν ἐν σπυρίδι κρύπτουσι τὸν λύχνον ὥστε σώζειν τὸ πῦρ.

454. πλέκους χρέος : Τοῦ σπυριδίου. τοῦ πλέγματος. (καὶ τοῦτο δὲ παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου

τί δ' ὦ τάλας σὺ τῷδε πείθεσθαι μέλλεις.)

455. βούλομαι δ' ὅμως λαβεῖν : Μιμεῖται τὸν Εὐριπίδου χαρακτῆρα τῷ λόγῳ.

457. εὐδαιμονοίης : Σκώπτει αὐτὸν ὡς λαχανόπωλιν ἔχοντα μητέρα τὴν Κλειτώ. κυλίσκιον δὲ ποτήριον. (γράφεται δὲ κυλίκειον.) ἀποκεκρουσμένον δὲ ἀποκεκλασμένον.

461. (οὔπω μὰ Δί' : Οἷον οὐκ οἶδα ὅπως βαρὺς εἶ ἐν τοῖς δράμασι καὶ ἀποκναίεις τοὺς θεατάς.

οἶ' αὐτὸς ἐργάζει κακά : Ἐργάσῃ κακῶς αὐτὸς σαυτὸν, χαριζόμενός μοι ταῦτα, δι' ὧν σε κακῶς λέγω.) ἢ λείπει τὸ μὴ δούς.

463. δός μοι χυτρίδιον : (Ἢ ὅτι χύτραν φέρουσιν, ἐν ᾗ σπόγγος πεπληρωμένος μέλιτος, καὶ ἐντιθέασι τῷ στόματι τῶν παιδίων, ὅπως σιωπήσωσι ζητοῦντες τροφὴν, ἢ ὅτι πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι τοῖς σπόγγοις.) ἢ τετρημένον ἁπανταχοῦ ὥσπερ οἱ σπόγγοι. (καὶ τοῦτο δὲ ὑπερβολὴ πενίας, τὸ κεχρῆσθαι τοῖς τετρημένοις. μιμεῖται δὲ Τήλεφον. βεβυσμένον δὲ κεκλεισμένον.)

βεβυσμένον : Βυπτεῖν, βαπτίζειν· βυννεῖν, τὸ ἐν στόματι κατέχειν τι. *Vict.*

464. τὴν τραγῳδίαν : Οἷον τὰ σκεύη τῆς τραγῳδίας.

465. ταυτηνὶ τὴν χύτραν δηλονότι.

469. ἰσχνά μοι φυλλεῖα : Τὰ ἀπολεπίσματα τῶν λαχάνων. ἰσχνὰ δὲ οἷον μεμαραμμένα καὶ εὐτελῆ τῶν λαχάνων (φύλλα. τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσι. καὶ ἐν Πλούτῳ (554) « ἀντὶ δὲ μάζης φυλλεῖ' ἰσχνῶν ῥαφανίδων. » καλεῖται δὲ φυλλεῖα καὶ τὰ τῆς θριδακίνης φύλλα. σκώπτει δὲ αὐτὸν ὡς λαχανοπώλιδος υἱόν.)

472. (σκληρὸς, οὐ δοκῶν μὲν κοιράνους : Τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό.)

478. (σκάνδικά μοι δός : Καὶ ἐν τοῖς Ἱππεῦσι δεδήλωται ὅτι ἡ μήτηρ Εὐριπίδου πωλεῖν ἐλέγετο σκάνδικας.) θηλυκῶς δὲ ἡ σκάνδιξ ἐλέγετο. ἔστι δὲ λάχανον ἄγριον εὐτελές.

479. πηκτὰ δωμάτων : Τὰς θύρας. (Ὅμηρος [Il. I, 475] « θύρας πυκινῶς ἀραρυίας. » Ἄλλως. πρὸς τὰς ἔμπροσθεν τῶν θυρῶν ἱσταμένας κιγκλίδας, πηκτὰς τὰς θύρας εἶπε, διὰ τὸ δι' ὅλου ἀσφαλίζειν καὶ ἀποκλείειν τὰς ὄψεις, καὶ μὴ ὁρᾶν τινα δύνασθαι τἄνδον, ὥσπερ ἀπὸ τῶν κιγκλίδων.)

483. γραμμὴ δ' αὑτηί : Ἀρχὴ, ἀφετηρία, ἡ λεγομένη βαλβίς. ἐκ μεταφορᾶς οὖν τῶν δρομέων.

484. ἕστηκας : Ἀντὶ τοῦ ἐπὶ συννοίᾳ μένεις, καὶ οὐκ εἶ, ὥσπερ Εὐριπίδην ὅλον μετασχηματισάμενος καὶ ἀναλαβὼν ἐν σεαυτῷ. (ἐκεῖ δὲ εἰς τὸ ἐπίξηνον.)

487. εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι : Εἴ τι δοκεῖ σοι αὐτῇ ὦ καρδία εἰπὲ, παρασχοῦσα τὴν κεφαλὴν εἰς τὸ ἐπίξηνον.

489. (τί δράσεις : Διπλῆ καὶ τριὰς μεσῳδική· ἧς αἱ μὲν ἑκατέρωθέν εἰσι δίκωλοι διπλῶν δοχμίων· ἡ δὲ μέση δίστιχος ἰαμβικὴ δίμετρος ἀκατάληκτος.)

491. σιδηροῦς ἀνήρ : Στερρὸς ἀνὴρ καὶ ἀτέραμνος.

493. εἷς λέγειν τὰ 'ναντία : Λείπει τὸ ὤν, ἵν' ᾖ εἷς ὤν.

494. αἱρεῖ ἀντὶ τοῦ βούλει. R.

497. (μή μοι φθονήσητ' ἄνδρες : Ἐκ Τηλέφου Εὐριπίδου

μή μοι φθονήσητ' ἄνδρες Ἑλλήνων ἄκροι,
εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν.)

499. τρυγῳδίαν ποιῶν : Κωμῳδίαν· ἤτοι διὰ τὸ τρύγα ἔπαθλον λαμβάνειν, τουτέστι νέον οἶνον, (ἢ διὰ τὸ μὴ ὄντων προσωπείων τὴν ἀρχὴν τρυγὶ χρίεσθαι τὰς ὄψεις).

502. (οὐ γάρ με καὶ νῦν : Ὡς ἐκ τοῦ ποιητοῦ τοῦτο. προείρηται δὲ τὰ περὶ τούτου.)

503. (ξένων παρόντων : Διὰ τὸ ἐν τοῖς Βαβυλωνίοις πολλῶν παρόντων ξένων εἰρηκέναι κατὰ πολλῶν τὸν Ἀριστοφάνην. διὸ καὶ κατηγορήθη ὑπὸ τοῦ Κλέωνος.)

504. αὐτοὶ γάρ ἐσμέν : Οἷον μόνοι οἱ Ἀθηναῖοι χω-

ρὶς τῶν συμμάχων καὶ ξένων. (χειμῶνος γὰρ λοιπὸν ὄντος εἰς τὰ Λήναια καθῆκε τὸ δρᾶμα. εἰς δὲ τὰ Διονύσια ἐτέτακτο Ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους, ὡς Εὔπολίς φησιν ἐν Πόλεσιν.)

οὑπὶ Ληναίῳ τ' ἀγών : Ὁ τῶν Διονυσίων ἀγὼν ἐτελεῖτο δὶς τοῦ ἔτους, τὸ μὲν πρῶτον ἔαρος ἐν ἄστει, ὅτε καὶ οἱ φόροι Ἀθήνησιν ἐφέροντο, τὸ δὲ δεύτερον ἐν ἀγροῖς, ὁ ἐπὶ Ληναίῳ λεγόμενος, ὅτε ξένοι οὐ παρῆσαν Ἀθήνησι. χειμὼν γὰρ λοιπὸν ἦν.

507. περιεπτισμένοι : Οἷον ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀστοί. κυρίως πτίσσειν ἐστὶ τὸ κριθὰς ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη.

508. μέρος γάρ ἐστι τῶν πολιτῶν οἱ μέτοικοι εὐτελὲς ὡς τὰ ἄχυρα τῶν κριθῶν. R.

510. οὑπὶ Ταινάρῳ θεός : (Ὁ αὐτῶν τῶν Λακεδαιμονίων.) Ταίναρον γάρ ἐστι τῆς Λακωνικῆς ἀκρωτήριον, ἐν ᾧ στόμιον ἦν κατάγον εἰς Ἅιδου. ἐνταῦθα δὲ ἦν καὶ Ποσειδῶνος ἱερὸν Ἀσφαλείου. τοῦτο δὲ εἶπεν, ἐπειδὴ τοὺς εἵλωτας οἰκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος τοῦ Ταιναρίου οὐδὲν δείσαντες ἀνεῖλον Λακεδαιμόνιοι, καὶ διὰ τοῦτο ἐδόκουν ἐναγεῖς εἶναι.

512. ὡς καὶ αὐτὸς τοῖς Ἀχαρνεῦσι. R.

517. παρακεκομμένα : (Μηδὲν ἐντελὲς ἔχοντα.) ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων, ἅπερ παράτυπα λέγεται καὶ παρακεκομμένα. καὶ νῦν δὲ εἰώθασι λέγειν παραχαράκτας τοὺς παρακόπτοντας. ὅθεν παρ' Ἀθηναίοις καὶ παράσημος ῥήτωρ.

519. Μεγαρέων τὰ χλανίσκια : (Οἱονεὶ ἐξετίνασσον αὐτοὺς παραγενόμενοι. ἢ τοιοῦτό τι λέγει. ἐσυκοφάντουν οὐ μόνον Μεγαρέας, ἀλλὰ καὶ τὰ χλανίσκια αὐτῶν,) ἀντὶ τοῦ, τὴν ὕπαρξιν, τὴν οὐσίαν. (ἢ περιφραστικῶς τοὺς Μεγαρέας.)

520. σίκυον : Ἀπὸ εὐθείας τῆς ὁ σίκυος.

521. (ἢ χόνδρους ἅλας : Οὕτως οἱ Ἀττικοί. πολλοὶ δὲ ἦσαν παρὰ Μεγαρεῦσιν ἅλες.)

522. ταῦτ' ἦν Μεγαρικά : Ταῦτα λέγοντες εἶναι Μεγαρικὰ πάντα διήρπαζον ὑπὸ τῶν συκοφαντούντων καὶ τοῦ μικρολόγου.

524. πόρνην δὲ Σιμαίθαν : Οἱ ἀπὸ τῶν Ἀθηναίων Μεγαρικὴν γυναῖκα ἥρπασαν Σιμαίθαν. (Δωρικώτερον δὲ εἶπε Σιμαίθαν. ταύτης δὲ καὶ Ἀλκιβιάδης ἠράσθη, ὃς καὶ δοκεῖ ἀναπεπεικέναι τινὰς ἡρπακέναι τὴν πόρνην.)

525. (μεθυσοκότταβοι : Λάταξ, χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην· εἶτα εἰς σμικρὰ ποτήρια ἐμβαλόντες ταύτην ἔρριπτον εἰς τὸ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν.)

526. πεφυσιγγωμένοι : (Φῦσιγξ λέγεται τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων, ἡ φυσίγγη. ἔπαιξεν οὖν τοῦτο εἰς Μεγαρέας, ὅτι πολλὰ σκόροδα ἔχουσιν. ἢ πεπλησμένοι,) ἀπὸ μεταφορᾶς τῶν τὸν ἄνεμον δεχομένων ἀσκῶν ἢ φυσῶν. ἢ ἐκκεκαυμένοι, οἰδοῦντες.

527. Ἀσπασίας πόρνα δύο : Τῇ μιᾷ τούτων ἐκέχρητο ὁ Περικλῆς· δι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα, ἀπαγορεῦον δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας. ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηνῶν προσέφυγον τοῖς Λακεδαιμονίοις. ἡ δὲ Ἀσπασία Περικλέους ἦν σοφίστρια καὶ διδάσκαλος λόγων ῥητορικῶν· ὕστερον δὲ καὶ γαμετὴ γέγονε.

528. κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου : Ἐνταῦθα εἰς τὸν Περικλέα βούλεται ἀγαγεῖν τὴν αἰτίαν τοῦ πολέμου, οὐκ εὐπρεπῆ αὐτῷ προσάπτων πρόφασιν.

529. λαικαστριῶν : Πορνῶν. *Vict.*

530. (Περικλέης οὑλύμπιος : Πρῶτος Ὀλύμπιος. ὅτι ὁ Ζεὺς Ὀλύμπιος καλεῖται, ἐπήγαγε τὸ ἤστραπτεν, ἐβρόντα. Εὔπολις Δήμοις·

κράτιστος οὗτος ἐγένετ' ἀνθρώπων λέγειν.
ὁπότε παρέλθοι δ', ὥσπερ ἀγαθοὶ δρομῆς,
ἐκ δέκα ποδῶν ᾕρει λέγων τοὺς ῥήτορας·
ταχὺς λέγειν μὲν, πρὸς δέ γ' αὐτοῦ τῷ τάχει
πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν.
οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων
τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις.)

532. ἐτίθει νόμους : (Μιμούμενος τὸν τῶν σκολιῶν ποιητήν.) Τιμοκρέων δὲ ὁ Ῥόδιος μελοποιὸς τοιοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ πλούτου, οὗ ἡ ἀρχὴ « ὤφελες, « ὦ τυφλὲ Πλοῦτε, | μήτε γῇ μήτ' ἐν θαλάττῃ | μήτ' ἐν ἠπείρῳ φανῆναι, | ἀλλὰ Τάρταρόν τε ναίειν « | κἀχέροντα. διὰ σὲ γὰρ | πάντ' ἐν ἀνθρώποις « κακά. » τούτοις ἔοικε καὶ τὰ ὑπὸ Περικλέους εἰσηγηθέντα, ἐπεὶ ὁ Περικλῆς γράφων τὸ ψήφισμα εἶπε Μεγαρέας μήτε ἀγορᾶς μήτε θαλάττης μήτ' ἠπείρου μετέχειν. ἐπεὶ οὖν ὅμοια τοῖς Τιμοκρέοντος ἔγραψε, διὰ τοῦτο εἶπεν ὅτι ἐτίθει νόμους ὥσπερ σκολιὰ γεγραμμένους. (ἐνεκάλεσε δὲ ὁ Περικλῆς τοῖς Μεγαρεῦσιν ὅτι τὴν ἱερὰν γῆν τὴν ὀργάδα ἐγεώργησαν.)

535. ὅτε δὴ 'πείνων : Ἀντὶ τοῦ ἐλίμωττον, ὑπὸ λιμοῦ διεφθείροντο. (βάδην δὲ ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ καὶ ἐπίδοσιν λαμβάνοντος.)

540. (ἐρεῖ τις, οὐ χρῆν : Καὶ τοῦτο ἀπὸ Τηλέφου Εὐριπίδου. ἐρεῖ τις ὅτι οὐκ ἐχρῆν πόλεμον κινῆσαι τοὺς Λακεδαιμονίους. τί οὖν ἐχρῆν αὐτοὺς ποιεῖν, εἴπατε.)

541. φέρ' εἰ καὶ Λακεδαιμονίων : Ὡς γυμνάζων τὸ πρᾶγμά φησιν, εἴ τις τῶν Λακεδαιμονίων πλεύσας εἰς Σέριφον, καὶ τὸ τυχὸν αὐτοὺς ἀδικήσας, καὶ λαβὼν παρ' αὐτῶν τοῦτο ἀπέδοτο, εἶτα ἐκεῖνοι κατέφυγον πρὸς ὑμᾶς δεόμενοι βοηθείας, ἤγετε ἄρα ἡσυχίαν; λέγει ὅτι οὐδαμῶς, ἀλλὰ κατὰ τάχος ἐβοηθεῖτε ἄν. ταὐτὸ καὶ Λακεδαιμόνιοι ἐποίησαν, ἀδικούντων ἡμῶν Μεγαρέας. (πικρῶς δὲ οὐκ εἶπεν, εἴ τις συκοφαντήσας ἀπέδοτο ἀπὸ τῶν Ἀθηναίων λαβὼν, τοῦτο γὰρ οὐδὲν μέγα αὐτῶν τινα καὶ εἰς τὸ ἐλάχιστον ἀδικούμενον ἀμύνασθαι, ἀλλά φησιν) ὅτι τῆς Σερίφου, τῆς εὐτελεστάτης νήσου τῶν Ἀθηναίων· καὶ οὐχὶ, εἰ ἔλαβέν τι ἄξιον λόγου κτῆμα, ἀλλὰ κυνίδιον, ἠνέσχεσθε ἄν.

542. (φήνας : Συκοφαντήσας, φενακίσας. ἡ δὲ Σέριφος νῆσός ἐστιν εὐτελεστάτη πρὸς τῇ Θρᾴκῃ.)

543. (ἢ πολλοῦ γε δεῖ : Ἀντὶ τοῦ οὐδὲ ὅλως. καὶ τοῦτο ἐκ Τηλέφου.)

546. θορύβου στρατιωτῶν : Θορύβου βοώντων περὶ τοῦ δεῖν τριηράρχους εἶναι.

547. μισθοῦ διδομένου : (Μισθοῦ μὲν τοῦ διδομένου τοῖς ἐμβαίνουσιν εἰς τὰς ναῦς. παλλάδια δὲ) ἐν ταῖς πρῴραις τῶν τριήρων ἦν ἀγάλματά τινα ξύλινα τῆς Ἀθηνᾶς καθιδρυμένα, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

548. (στοᾶς στεναχούσης : Τῆς λεγομένης ἀλφιτοπώλιδος, ἣν ᾠκοδόμησε Περικλῆς· ὅπου καὶ σῖτος ἀπέκειτο τῆς πόλεως. ἦν δὲ περὶ τὸν Πειραιᾶ. στεναχούσης δὲ διὰ τὸ πλῆθος τῶν συναγομένων ἐπισιτισμῶν.)

549. τροπωτήρων : Τῶν ἱμάντων τῶν συνδεόντων πρὸς τὸν πάτταλον, λέγω δὴ τὸν σκαλμὸν, τὴν κώπην. Ὅμηρος [Od. Δ, 782] « τροποῖς ἐν δερματίνοισι », τουτέστι τοῖς τροπωτῆρσιν.

550. σκορόδων, ἐλαῶν : Οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες ταῦτα ὠνοῦντο (καὶ ἐν λίνοις ἔβαλλον).

551. στεφάνων, τριχίδων : (Ταῦτα μὲν πάντα) ὡς εὐωχουμένων τῶν μελλόντων ἐμβαίνειν εἰς τὰς ναῦς. τριχίδες δὲ εἶδος ἰχθύων (καὶ ἴσως οὓς ἡμεῖς καλοῦμεν θρίσσας, ἐπεὶ θριξὶν ὅμοια ἔχουσιν ὀστᾶ).

ὑπωπίων : Τῶν τύλων τῶν γινομένων ἐν ταῖς χερσὶν ἀπὸ τῆς τοῦ σιδήρου ἐργασίας. λέγεται δὲ ὑπώπια καὶ τὰ ἀφ' οἱασδηποτοῦν πληγῆς τραύματα.

552. (κωπέων πλατουμένων : Τῶν εἰς κώπην ξύλων ἐπιτηδείων καὶ κώπας ἁρμοζόντων, ἵνα ἴδωσιν εἰ ἐντρέχουσι τοῖς τρήμασι.

553. τύλων : Τῶν ξυλίνων ἥλων. ἔστι δὲ τύλος νενεκρωμένη σὰρξ, ἀποσκίρωμα τῶν γονάτων. θαλαμίων δὲ τῶν ναυτῶν.)

554. κελευστῶν : Κελευστὴς, τριήραρχος, πρωρεύς. *Vict.* — νιγλάρων : Ὁ νίγλαρος κροῦμά ἐστι καὶ μέλος μουσικὸν παρακελευστικόν.

555. τὸν δὲ Τήλεφον : Καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου.

557. ἄληθες ὦ 'πίτριπτε : Ἐνταῦθα διαιρεῖται ὁ χορὸς εἰς δύο μέρη, καὶ τὸ μὲν ὀργίζεται ἐφ' οἷς λέγει ὁ Δικαιόπολις, τὸ δὲ καὶ ἀποδέχεται. (ἐν εἰσθέσει δὲ ἰαμβικὴν τὴν « ἄληθες ὦ 'πίτριπτε. »)

559. καὶ συκοφάντης : Καὶ εἰ ἐτύγχανέν τις ἡμῶν συκοφάντης ὢν, τοῦτον ἔσκωψας καὶ οὐκ ἀπεκρύψω. (τοῦτο οὖν μετὰ ἠθικῆς ἐρωτήσεως. οἷον καὶ τὸ Ὁμηρικὸν [Il. A, 231]

ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
ἢ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο.)

562. εἶτ' εἰ δίκαια : (Κατ' ἐρώτησιν ὁ λόγος· εἰ καὶ) δίκαια ἦν, φησὶν, ἐχρῆν τοῦτον αὐτὰ εἰπεῖν;

564. τὸ ἡμιχόριον τὸ συναγωνιζόμενον αὐτῷ λέγει ὅτι μὴ ἀναχωρήσῃς, ἀλλ' ἄντειπε· βελτίων γὰρ ἔσῃ. R. θενεῖς : ἀντὶ τοῦ τύψεις. *R. Vict.*

565. ἀρθήσει : καταβληθήσῃ. *R.* καταληφθήσῃ. Ald.

566. ἰὼ Λάμαχ' ἰώ : (Ὑφ' ὃ διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ὀκτάκωλον, ἧς τὰ μὲν ἄλλα ἐστὶ δόχμια, ἁπλοῦν δὲ τὸ τέταρτον, διπλοῦν δὲ τὸ ἕκτον. τὸ δὲ πέμπτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. γοργολόφα δὲ,) ὦ φοβερώτατε.

571. ἔχομαι μέσος : Ἀντὶ τοῦ ἥττημαι, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν τὰ μέσα ληφθέντων (καὶ μὴ ἐχόντων εὐκόλως ἐκφυγεῖν τοὺς ἀντιπαλαίοντας).

574. τίς Γοργόν' ἐξήγειρεν : Ὡς τοῦ Λαμάχου ἔχοντος ἐντετυπωμένην τῇ ἀσπίδι Γοργόνα.

(ἐκ τοῦ σάγματος : Ἐκ τῆς θήκης τοῦ ὅπλου, ὃ καλεῖται σάγμα. σάγη γὰρ τὸ ὅπλον· καὶ πανσαγία, ἡ πανοπλία. ἀντὶ οὖν τὴν ἀσπίδα. ἐν δὲ τῇ ἀσπίδι ἐτετύπωτο ἡ Γοργών.)

577. κακορροθεῖ : Κακῶς ἀγορεύει. *R. Vict.* καὶ τοῦτο ἐκ Τηλέφου. R.

579. κἀστωμυλάμην : Ἐφλυάρησα, περισσόν τι τοῦ δέοντος ἐλάλησα. ἢ πανούργως ἐφθεγξάμην.

581. ἰλιγγιῶ : Σκοτοδινιῶ, ὑπὸ τῆς γαστρὸς συνέχομαι. τοῦτο δὲ καὶ Συρακόσιοι εἰλεὸν λέγουσιν. (ὅταν δὲ περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ σκότος. καὶ τοῦτο τὸ πάθος καλοῦσιν ἴλιγγον. φασὶ δ' ὅτι τὸ μὲν ῥῆμα διφθογγογραφεῖται, τὸ δ' ὄνομα διὰ τοῦ ἰῶτα ἴλιγγος.)

582. τὴν Μορμόνα : Ἀντὶ τοῦ τὰ φοβερά. (φοβερὰ γὰρ ὑπῆρχεν ἡ Μορμώ. ἐνταῦθα δὲ Μορμόνος, ὡς τρυγόνος. ἀλλαχοῦ δὲ Μορμώ Μορμοῦς, ὡς Σαπφώ Σαπφοῦς.)

584. τὸ πτερόν : Πτερὸν αἰτεῖ, ἵνα ἐξεμέσῃ. εἰώθασι γὰρ οἱ δυσεμεῖς πτερῷ χρῆσθαι.

586. βδελύττομαι : Ἀλληγορικῶς ἀπὸ τῶν ἐξεμούντων διὰ τὰς χολάς. οὗτος δέ φησι διὰ τοὺς λόφους.

589. ἆρα κομπολακύθου : Ματαιοκόμπου καὶ κομπώδους ἐν τῷ καυχᾶσθαι. παρεποίησε δὲ καὶ παρέπλασεν ὀνόματα ὄρνιθος, διὰ τὸ κομπαστὴν εἶναι τὸν Λάμαχον. Ἄλλως. ἀπὸ τοῦ λακεῖν ἐν παραγώγῳ γέγονε τὸ ληκύθιον. ληκυθίζειν γὰρ τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν. ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ λήκυθος, ἐπεὶ καὶ αὐτὴ πεφύσηται. πάντα δὲ τὰ πεφυσημένα κόμπον ποιεῖ. ἀπὸ οὖν τοῦ κόμπου καὶ τῆς ληκύθου ὄνομα συνέθηκεν.

590. οἴμ' ὡς τεθνήσει : Τὸ τέλειον ἐστὶν οἶμαι. Ἀττικοὶ δὲ διὰ τοῦ σ φασὶ τεθνήσει.

595. οὐ σπουδαρχίδης : Οὐ σπουδάζων περὶ ἀρχῆς. Αἰολέων δὲ ἴδιον τὰ ἐπίθετα πατρωνυμικῷ τύπῳ φράζειν.

596. στρατωνίδης : Ἀντὶ τοῦ στρατευόμενος, στρατιώτης.

597. (μισθαρχίδης : Μισθὸν λαμβάνων. ἢ ὅτι τοὺς τῶν στρατιωτῶν μισθοὺς ἤσθιεν.)

598. κόκκυγες : Ἀντὶ τοῦ ἄτακτοι καὶ ἀπαίδευτοι. καὶ γὰρ ὁ κόκκυξ τὸ ζῷον ἄμουσόν τι φθέγγεται.

600. τάξεσιν : Τοῖς τοῦ πολέμου καταλόγοις. R.

603. Τισαμενοφαινίππους : Ὁ Τισαμενὸς ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται. ὁ δὲ Φαίνιππος ὡς ὑώδης καὶ ἡταιρηκώς. ὁ δὲ Χάρης ἐπὶ ἀμαθίᾳ διεβάλλετο.

πανουργιππαρχίδας : Τούτους κωμῳδεῖ ὡς πανούρ-

γους, τόν τε Τισαμενὸν καὶ τὸν Φαίνιππον καὶ Ἱππαρχίδην καὶ Γέρητα τὸν φαλακρὸν καὶ Θεόδωρον, τὸν Διομειᾶ τῶν δήμων ὄντα, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου.

604. τοὺς δ' ἐν Χαόσι : Χαόνες μὲν ἔθνος ἠπειρωτικόν. πέπαικται δὲ παρὰ τὸ ἐν Ἱππεῦσιν [78]

ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χαόσιν.

ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο Γέρης καὶ Θεόδωρος, καὶ ὅτι ἐκ δούλων.

606. κἂν Γέλᾳ : Καμαρίνα καὶ Γέλα πόλεις Σικελίας. ἐποίησε δὲ τὸ Καταγέλα ἀπὸ τοῦ καταγελᾶν αὐτῶν τοὺς στρατηγούς.

608. (ἀμηγέπου : Ἁπανταχοῦ, ὅπως ἂν τύχῃ, καθ' οἱονδήποτε τρόπον.)

609. ὦ Μαριλάδη : Παρεποίησε τὸ ὄνομα ἀπὸ τῆς μαρίλης, (ὅτι τὸ ἀμαυρὸν πῦρ δηλοῖ). τουτέστιν ὦ γέρον Ἀχαρνικέ.

610. (ἤδη πεπρέσβευκας σὺ πολιὸς ὤν : Οὕτως ἐν τοῖς ἀκριβεστάτοις ἔνη, ἵνα λέγῃ ἐκ πολλοῦ. Ἀττικοὶ δὲ τὸ ἔνη περιττὸν ἐτίθεσαν, ὡς τὸ ἔχων, « ληρεῖς ἔχων. » οἱ δὲ λείπειν φασὶ τὸ δύο, ἵνα ἐρωτῶν λέγῃ ἐν ἢ δύο.)

612. (Πρινίδης : Ἀπὸ τοῦ πρίνου ἔπλασεν ὄνομα, ἐπειδὴ οἱ Ἀχαρνεῖς ἀνθρακεῖς, ἡ δὲ πρῖνος ἐπιτήδειον ξύλον εἰς ἄνθρακας.)

614. ὁ Κοισύρας : (Ὁ Μεγακλῆς.) Κοισύρα δὲ ἐγένετο Ἀθήνησιν εὐγενὴς γυνὴ καὶ πλουσία, μήτηρ τοῦ Μεγακλέους, ὃς καταβεβρωκὼς τὴν οὐσίαν καὶ ὕστερον πεπλουτηκὼς ἐκ τοῦ τὰ κοινὰ πράσσειν λέγεται.

615. οἷς ὑπὲρ ἐράνου : Ἔθος εἶχον τέλεσμά τι εἰς τὸ κοινὸν διδόναι, ὅπερ οἱ μὴ διδόντες καὶ ἄτιμοι ἐνομίζοντο καὶ μετὰ βίας ἀπῃτοῦντο. παρὰ προσδοκίαν δὲ ἐπήγαγε τὸ χρεῶν.

616. ἀπόνιπτρον : Ἀπόνιμμα. *Vict.*

617. ἅπαντες ἐξίστων : Εἰώθεσαν, εἴ ποτε ἐκχέοιτο ἀπόνιπτρον ἀπὸ τῶν θυρίδων, ἵνα μή τις βραχῇ τῶν παριόντων ἐξίστω λέγειν. παίζει οὖν πρὸς τὸ ἐξίστω ὄνομα, ὁμώνυμον ὂν τῷ ἐκχώρησον. Τοῦτο δὲ λέγει διασύρων Μεγακλέα καὶ Λάμαχον, ὡς πρότερον μὲν πένητας ὄντας, εἶτα ἐξαίφνης πλουτήσαντας ἀπὸ τῆς πόλεως, (ὅτι αὐτοῖς οἱ φίλοι χθὲς καὶ πρώην συνεβούλευον καταχρέοις οὖσιν ὑπό τε ἐράνων καὶ ὀφλημάτων ἐξίστασθαι τῆς οὐσίας, ὡς μὴ δυναμένοις ἀποδοῦναι). ἢ τοῖς δανείζουσι παρῄνουν οἱ φίλοι ἐξίστασθαι τοῦ δανείζειν τοῖς τοιούτοις ὀφείλουσιν ἐράνους καὶ χρέα. οὐ νῦν οὖν αὐτοὺς διαβάλλει ὡς πένητας, ἀλλ' ὡς ποτὲ πένητας.

601. πανταχῇ : Ἀντὶ τοῦ ἰσχυρῶς. R.

625. ἀγοράζειν : Τὸ ἀγοράζειν οὐχ ἴσον τοῦ ὠνεῖσθαι τέθεικεν, ὡς ἡμεῖς, ἀλλ' ἐπὶ τοῦ ἐν ἀγορᾷ διατρίβειν. λείπει δὲ τὸ ἰόντας.

626. (ἀνὴρ νικᾷ : Ἐξιόντων τῶν ὑποκριτῶν ὁ χορὸς λέγει τὴν τελείαν παράβασιν. τῆς δὲ παραβάσεως τὸ μὲν κομμάτιόν ἐστι στίχων δύο ἀναπαίστων τετραμέτρων καταληκτικῶν. αὕτη δὲ ἡ παράβασις ἐξ ὁμοίων στίχων λϐ'.)

627. ἀλλ' ἀποδύντες : Ἀπὸ μεταφορᾶς τῶν ἀποδυομένων ἀθλητῶν, οἳ ἀποδύονται τὴν ἔξωθεν στολήν, ἵνα εὐτόνως χορεύωσι (καὶ εὐστροφώτεροι ὦσι πρὸς τὰ παλαίσματα).

629. οὔπω παρέβη : Ἀντὶ τοῦ, ἐν τῇ παραβάσει οὔπω εἶπε.

630. ταχυβούλοις : Ἀντὶ τοῦ ταχέως μεταβαλλομένοις, (προπετέσιν, ἀπερισκέπτοις. κωμῳδοῦνται δὲ οἱ Ἀθηναῖοι ὡς τοιοῦτοι, καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται.)

634. ξενικοῖσι λόγοις : Ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν. (ὅτι ἀνοίκειον Ἕλλησι τὸ ἐξαπατᾶσθαι. ἢ ξενικοῖς, τοῖς ἀπὸ τῶν ξένων πρέσβεων λεγομένοις.)

635. χαυνοπολίτας : Κεχαυνωμένους περὶ τὴν πολιτείαν ἢ τὴν πόλιν.

637. ἰοστεφάνους : Παρὰ τὰ ἐκ τῶν Πινδάρου διθυράμβων [fr. 46] « αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι. » διασύρει δὲ ὅτι οἱ προδόται τούτοις χρῶνται τοῖς λόγοις.

638. ἐπ' ἄκρων τῶν πυγιδίων : Παρὰ τὴν παροιμίαν, ἐπ' ἄκρων τῶν ὀνύχων. (οἱ γὰρ ἡδέως τι ἀκούοντες δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι. Ἄλλως. παρὰ τὴν παροιμίαν, ἐπ' ἄκρων τῶν ὀνύχων, ἔπαιξεν οὗτος ἐπ' ἄκρων τῶν πυγιδίων εἰπών. καὶ Σοφοκλῆς [Aj. 1229]

ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο,
ὑψήλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις.

εἰώθασι γὰρ οἱ ἀλαζόνες ἐπ' ἄκρων ὀνύχων βαδίζειν καὶ οἱ ἐπαίνων εἰς ἑαυτοὺς γινομένων ἀκούοντες τὴν πυγὴν τῆς καθέδρας ἐξαίρειν.)

639. (ὑποθωπεύσας : Κολακεύσας. παρὰ τὸ λιπαρὰς Ἀθήνας, τὸ λιπαρὰς ἀφύας.)

640. εὕρε τὸ πᾶν ἄν : Ἀντὶ τοῦ πᾶν πρᾶγμα κατορθοῖ. (ἀφύων τιμήν : Καὶ ἑνικῶς λέγεται, ὡς ἐν Ταγηνισταῖς·

ἅλις ἀφύης μοι, παρατέταμαι γὰρ ἐσθίων.)

642. καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν : Ἀντὶ τοῦ, τὴν ἡμῶν αὐτῶν πολιτείαν ἐπιδείξας ταῖς συμμάχοις πόλεσι. τουτέστι διδάξας τοὺς συμμάχους ὡς χρὴ δημοκρατεῖσθαι, εὔνους ὑμῖν αὐτοὺς ἐποίησεν. Ἄλλως. ἐν ταῖς ἄλλαις πόλεσι τοὺς ἡμετέρους δείξας δήμους ὅτι δημοκρατοῦνται, καὶ ἄνευ τυραννίδος ἀλλήλοις πειθόμενοι.

644. τὸν Ἀριστοφάνην. R.

647. βασιλεὺς : Ἀντὶ τοῦ ὁ μέγας ὁ Περσῶν.
βασανίζων : Ἀκριβῶς ἐξετάζων.

648. πότεροι ταῖς ναυσί : Ποῖοι αὐτοὶ τῶν Ἀθηναίων ἐν τῇ ναυμαχίᾳ κρατοῦσιν. ἔθος δὲ τοῖς βασιλεῦσι τὰ τοιαῦτα περιεργάζεσθαι.

649. ποτέρους εἴποι πολλά : Ἀντὶ τοῦ, περὶ τούτου τοῦ ποιητοῦ ἠρώτα, τίνας διαβάλλει καὶ κωμῳδεῖ. ἔφασκε γὰρ (ὁ τῶν πρέσβεων βασιλεὺς) ὅτι οὓς ἂν οὗτος ὁ ποιητής, τουτέστιν ὁ Ἀριστοφάνης, σκώψῃ, τούτους σωφρονίζεσθαι καὶ γίνεσθαι βελτίους. (τοῦτο δὲ χαριεντιζόμενος ψευδῶς λέγει.)

630. (τούτους γὰρ ἔφη : Τοὺς Ἀθηναίους δηλονότι ἐρωτῶν ὁ βασιλεύς. ταῦτα δὲ λέγει περὶ αὐτοῦ.)

652. διὰ τοῦθ' ὑμᾶς Λακεδαιμονίους : Διὰ τὸ ἔχειν ὑμᾶς τὸν Ἀριστοφάνην ποιητὴν ἄριστον.

653. καὶ τῆς νήσου μὲν ἐκείνης : Τῆς νήσου, ἐν ᾗ τὰ χωρία Ἀριστοφάνους, λέγω δὴ τῆς Αἰγίνης.

654. ἀλλ' ἵνα τοῦτον τὸν ποιητήν : Ἐγγὺς αὐτῶν λάβωσιν. (ἐντεῦθεν τινὲς νομίζουσιν ἐν Αἰγίνῃ τὰς κωμῳδίας ποιεῖν τὸν Ἀριστοφάνην, διὰ τὸ ἐπενηνοχέναι αὐτόν· ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται τὴν Αἴγιναν, οὐχ ὑμᾶς. ταῖς ἀληθείαις εἷς ἦν τῶν ἐν τῇ νήσῳ κληρουχησάντων. οὐδὲν δὲ ἐκώλυε καὶ ἑτέρωθι συγγράφειν, εἰ ὑπὸ Λακεδαιμονίους ἡ νῆσος ἐγεγόνει. Ἄλλως. οὐδεὶς ἱστόρηκεν ὡς ἐν Αἰγίνῃ κέκτηταί τι Ἀριστοφάνης, ἀλλ' ἔοικε ταῦτα περὶ Καλλιστράτου λέγεσθαι, ὃς κεκληρούχηκεν ἐν Αἰγίνῃ μετὰ τὴν ἀνάστασιν Αἰγινητῶν ὑπὸ Ἀθηναίων.)

657. (οὐ θωπεύων : Οὐ κολακεύων, οὐκ ἀπατῶν.)

οὐθ' ὑποτίνων : (Φαίνων·) οὐδέ τισι μισθὸν διδοὺς, ἵν' αὐτὸν ἐπαινέσωσιν.

658. οὔτε κατάρδων : (Καταχέων ὑποσχέσεις. Ἄλλως. οὐ) καταβρέχων ὑμᾶς τοῖς ἐπαίνοις ὡς φυτά.

659. (πρὸς ταῦτα Κλέων : Διπλῆ καὶ εἴσθεσις εἰς τὸ καλούμενον πνῖγος καὶ τὸ μακρὸν, καὶ αὐτὸ ἀναπαιστικὸν, ὥσπερ καὶ ἡ κατακλεὶς, ἐκ διμέτρου μὲν ἑνὸς τοῦ τελευταίου καταληκτικοῦ, ἀκαταλήκτων δὲ ἕξ. ἐπὶ τῷ τέλει τῆς παραβάσεως παράγραφος. ὁμοίως δὲ καὶ τῷ τοῦ πνίγους.)

665. (δεῦρο Μοῦσα : Διπλῆ καὶ ἐπιρρηματικὴ συζυγία, ἧς αἱ μὲν μελικαί εἰσι κώλων ια' παιωνικῶν, ὧν τὰ μὲν πρῶτα γ' τρίρρυθμα, τὸ δὲ δ' δίρρυθμον. εἶτα ἐν εἰσθέσει τετράρρυθμα δύο. καὶ ἐν ἐκθέσει τρία μὲν δίρρυθμα, ἓν δὲ τρίρρυθμον.

φλεγυρά : Λαμπρὰ, φλέγουσα, λάμπουσα, ἢ θερμὴ διὰ τοὺς ἄνθρακας. — Ἔντονος : Ἀντὶ τοῦ ἰσχυρά. R.

667. πρινίνων : Ἀντὶ τοῦ ἀγροίκων, στερεῶν. ἡ γὰρ πρῖνος ξύλον στερεόν.

668. φέψαλος : Σπινθήρ. R. φέψαλος καὶ φεψάλυξ σπινθὴρ ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων. *Vict.*

669. οὐρίᾳ ῥιπίδι : Τῇ τοῦ ἀνέμου φορᾷ. (λέγει δὲ) τὸ πρὸς κίνησιν πνεύματος ἐπιτήδειον, ὃ ἡμεῖς ῥιπίδιον καλοῦμεν.

670. ἐπανθρακίδες : Λεπτοὶ ἰχθύες ὀπτοί. πάντα δὲ τὰ ἐπὶ ἀνθράκων ὀπτώμενα ἀνθρακίδας ἐκάλουν.

671. οἱ δὲ Θασίαν ἀνακυκλῶσιν : Οἱ μέν φασι λείπειν τὸ λάγηνον, ἐπεὶ καταχρίονται πίσσῃ τὸ στόμα· οὐ πιθανῶς. οὐδέπω γὰρ τότε Θάσιος οἶνος ηὐδοκίμει παρὰ Ἀθηναίοις. οἱ δὲ, ὅτι Θάσιαι τινὲς ῥαφανῖδες λέγονται. λέγει δὲ τὴν ἠρτυμένην καὶ βρασσομένην. οἱ δὲ Θάσιόν φασι βάμμα λέγεσθαι ἐκ τῶν ἀπὸ πυρὸς ἰχθύων. ἰδίως Θασίαν ἐκάλουν. Κρατῖνος « εἶδες τὴν Θασίαν ἅλμην. » οἱ δὲ τὴν λεγομένην θερμοπότιδα, ἢ Θασίαν ζωμάλμην. εἰς ἣν ἀπέβαπτον τὰ ἠνθρακωμένα τῶν ἰχθύων.

λιπαράμπυκα : Φιάλην Θασίου οἴνου πεπληρωμένην. (ἄμπυξ δὲ λέγεται τὸ περιέχον. νῦν οὖν τὸ πῶμα τοῦ ἀγγείου λέγει. καὶ λιπαρὸν μὲν διὰ τὸ ἡδὺ τοῦ οἴνου, ἄμπυκα δὲ παρὰ τὸ σκεπάζειν καὶ καλύπτειν τὸν οἶνον καταχρηστικῶς.)

674. (ἀγροικότονον : Πρόθυμοι γὰρ οἱ ἄγροικοι εἰς πᾶσαν πρᾶξιν καὶ εὔτονοι.)

676. ἐπίρρημα. R.

678. ἐν τῷ γήρᾳ πάσχομεν. R.

679. τὸ οἵτινες οἱ νεώτεροι ἢ ὑμεῖς οἱ Ἀθηναῖοι. R.

ἐς γραφὰς : Ἀντὶ τοῦ εἰς δικαστήρια καὶ κατηγορίας. R.

680. ὑπὸ νέων ῥητόρων ἐᾶτε ἀπατᾶσθαι καὶ βλάπτεσθαι. R.

681. κωφούς : Οἷον ἀφώνους. Ὅμηρος [Il. Ξ, 16] « κύματι κωφῷ »

παρεξηυλημένους : Ἐκ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν καὶ ἀχρείων. κυρίως γὰρ παρεξηυλῆσθαι λέγονται αὐλοὶ οἱ τὰς γλωσσίδας διερρηγμένοι.

682. ἀσφάλειός ἐστιν : Ἀσφάλειος Ποσειδῶν παρὰ Ἀθηναίοις τιμᾶται. παρὰ τὸ καὶ αὐτὸν τῇ τριαίνῃ χρῆσθαι καὶ τοὺς γέροντας τῇ βακτηρίᾳ τοῦτο ἔφη. παρὰ δὲ τὸ πατεῖν ποσὶ τὸ Ποσειδῶν πεποίηκε. τιμᾶται δὲ Ποσειδῶν ἀσφάλειος παρ' αὐτοῖς, ἵνα ἀσφαλῶς πλέωσι.

683. τονθορύζοντες : Λάθρα φθεγγόμενοι, ἢ ὑπότρομοι, τὰ χείλη κινοῦντες. λίθῳ δὲ τῷ βήματι, (τῷ ἐν τῇ πνυκὶ δικαστηρίῳ).

τῷ λίθῳ : Τῇ πνυκί. *Vict.*

684. τῆς δίκης τὴν ἠλύγην : (Οἱ γέροντες ἡμεῖς δηλονότι οὐδὲν ὁρῶντες ἐν τῷ δικαστρίῳ, εἰ μὴ) τὴν σκιὰν τῆς δίκης. ἠλύγη γὰρ τὸ σκότος. καὶ ἠλυγισμένον, τὸ ἐσκοτισμένον. βαρύνεται δέ. παρὰ γὰρ τὴν λύγην. πλεονάζει τὸ η. παρὰ προσδοκίαν δὲ εἶπε τῆς δίκης, δέον ἀνθρώπων εἰπεῖν.

685. (σπουδάσας : Εἰς τὸ βλάψαι τὸν γέροντα.)

686. (ἐς τάχος παίει : Παίειν λέγουσι τὸ πᾶν ὁτιοῦν συντόνως ποιεῖν. στρογγύλοις δὲ, πιθανοῖς καὶ πανούργοις. τὸ δὲ ἐς τάχος ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς διδασκαλείοις παίδων, ἐφ' ὧν οὕτως ἐλέγετο, ἐς τάχος γράφει, ἐς κάλλος.)

687. σκανδάληθρ' ἱστάς : (Διχῶς ἀναγινώσκεται· ὑφ' ἓν, ἵν' ᾖ σκανδαληθριστάς. ἢ ἀπόστροφος ἐν τῷ ρ, ἵν' ᾖ σκανδάληθρα ἱστάς. καὶ ἡ μὲν λέξις πεποίηται παρὰ τὰ πέτευρα τῶν παγίδων· ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. ὁ δὲ νοῦς, ἀνελκύσας ἀπὸ τοῦ βήματος συνηγόρους ἑαυτῷ καὶ θηρευτὰς τῶν λόγων, ἐρωτᾷ ἡμᾶς. Ἄλλως.) σκανδάληθρα λέγεται τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα, (εἰς ἃ ἐρείδει ὅπερ Ἀρχίλοχος λέγει ῥόπτρον.) ἐνταῦθα οὖν λέγει ἐρείσματα λόγων καὶ βάρη. (τὸ δὲ ὑπερβατὸν οὕτως, κᾆτ' ἀνελκύσας σκανδαληθριστὰς ἐρωτᾷ ἡμᾶς.)

688. ἄνδρα Τιθωνόν : Ὑπεράγαν γεγηρακότα, (ἀπὸ Τιθωνοῦ τοῦ πάνυ γηράσαντος καὶ μεταβληθέντος εἰς τέττιγα).

689. μασταρύζει : Συνέλκει καὶ συνάγει τὰ χείλη. ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παίδων, ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι συνάγει τὰ χείλη.

690. λύζει : Ἐὰν μὲν διὰ τοῦ ζ, ὀλολύζει. ἐὰν δὲ χωρὶς τοῦ ζ, ἀλύει· τουτέστιν ἀδημονεῖ. (λύζει, ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμῷ συνέχεται.)

691. ὄφλων : χρεωστῶν. *R. Vict.* ἀπέρχομαι : Ἐπὶ γερόντων ἐν δίκαις ἀναστρεφομένων. *Vict.*

693. κλεψύδραν : Ἀντὶ τοῦ ἐν τῷ δικαστηρίῳ. ἡ γὰρ κλεψύδρα ἀγγεῖόν ἐστιν ἔχον μικροτάτην ὀπὴν περὶ τὸν πυθμένα, ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, πρὸς ὃ ἔλεγον οἱ ῥήτορες.

694. ὑπομείναντες. R.

695. ἀπομορξάμενον : Ἀποπαυσάμενον. *Vict.*

697. (Μαραθῶνι : Λείπει ἡ ἐν, οἷον ἐν Μαραθῶνι.)

698. Μαραθῶνι μὲν ὅτ' ἦμεν : Περιεγένοντο γὰρ οἱ Ἀθηναῖοι Περσῶν, ὅτ' ἐμαχέσαντο πρὸς αὐτοὺς ἐν Μαραθῶνι.

699. ὑπ' ἀνδρῶν : Τῶν νέων ῥητόρων. διωκόμεθα δὲ ἀντὶ τοῦ κατηγορούμεθα.

701. (κᾆτα προσαλισκόμεθα : Ἀντὶ τοῦ, πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιούμεθα.)

702. (Μαρψίας : Οὗτος ὁ Μαρψίας φιλόνεικος καὶ φλύαρος καὶ θορυβώδης ῥήτωρ κωμῳδεῖται.)

703. τῷ γὰρ εἰκός : Τῷ τρόπῳ, πῶς δίκαιόν ἐστιν ἄνδρα γεγηρακότα, (ἀντιπολιτευσάμενον Περικλεῖ,) ἀπολείπεσθαι συμπλακέντα ἀγριότητι; τοῦτο γὰρ δηλοῖ ἡ Σκυθῶν ἐρημία. λέγει δὲ ἀγριότητι, Κηφισοδήμῳ τῷ λάλῳ ῥήτορι. οὗτος δὲ ὁ Θουκυδίδης Μελησίου παῖς ἦν. γεγόνασι δὲ δ', (ὁ ἱστορικὸς, ὁ Γαργήττιος, ὁ Θετταλὸς, ὁ Μελησίου υἱός).

κυφὸν : Κεκυρτωμένον. *Vict.*

705. (Κηφισοδήμῳ : Οὗτος θρασὺς καὶ δεινὸς πρὸς τὰς δίκας. Ἀθηναῖος δὲ καὶ οὗτος.)

704. (Σκυθῶν ἐρημίᾳ : Ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν. ἀντὶ τοῦ, ὀλέθρῳ καὶ κακοῖς συμπλακέντα. τοῦτο δὲ λέγει, ὅτι οἱ Σκύθαι ἄοικοι ὄντες καὶ ἐπὶ τῶν ἁμαξῶν φερόμενοι αἴτιοι ἑαυτοῖς ὀλέθρου γίνονται. ἔστι δὲ παροιμία ἡ Σκυθῶν ἐρημία, τουτέστιν ἔρημον ὄντα.)

ἐρημίᾳ : Ἀγρότητι. *Vict.*

706. κἀπεμορξάμην : Ἔκλαυσα R. ἐκ τοῦ παρακολουθοῦντος.(παρέπεται γὰρ τοῦτο τοῖς δακρύουσιν.)

707. ἐπ' ἀνδρὸς τοξότου : Ἀντὶ τοῦ ὑπηρέτου δημοσίου, ἐπόπτου καλουμένου.

708. ὃς μὰ τὴν Δήμητρα : Ὅστις πρεσβύτης ὑπὸ τοῦ τοξότου βλαπτόμενος οὐδὲ τῆς Δήμητρος ἠνέσχετο, ἡνίκα ἦν νέος. Ἀχαιὰν δὲ τὴν αὐτὴν (ἐκάλουν) ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων καὶ τυμπάνων τοῦ γενομένου κατὰ ζήτησιν τῆς Κόρης. (ἢ ἀπὸ τοῦ ἤχου, ὃν παρεῖχε τοῖς περὶ τὴν Γέφυραν εἰς Ἀθήνας ἀπιοῦσιν. ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους. ὁ δὲ νοῦς, ἡνίκα ἦν Θουκυδίδης, οὐχ ὅπως τοξότην ἠνέσχετο ἂν καταβοᾶν αὐτοῦ, ἀλλ' οὐδὲ τὴν Ἀχαιὰν αὐτήν.)

710. κατεπάλαισε, κατηγωνίσατο, κατεπολέμησεν. R.

Εὐάθλους δέκα : Οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. (Ἀριστοφάνης ἐν Ὁλκάσιν « ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος ὥσπερ Εὔαθλος παρ' ὑμῖν τοῖς νέοις. » ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην. διεβάλλετο γὰρ ἡ τοξεία ὡς εὐτελής. καὶ Σοφοκλῆς [Aj. 1120 sq.]

ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.

ἀλλ' ἔνδοξον ταύτην δεῖξαι βουλόμενός φησιν

« οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην. »

αὐτοῦ δὲ τοῦ πατρὸς) τοῦ Εὐάθλου.

714. τὰς γραφὰς : Τὰς δίκας. R. ὅπως ἂν ᾖ τῷ γέροντι : Ἵνα παντελῶς οἱ νέοι τῶν γερόντων κεχωρισμένοι ὦσιν. (νωδὸς δὲ ὁ μὴ ἔχων ὀδόντας ὑπὸ γήρως.)

716. χὠ Κλεινίου : Ἀλκιβιάδην τὸν Κλεινίου ὡς καταπύγονα κωμῳδοῦσιν.

717. κἀξελαύνειν χρή : Κἂν ἐξελαύνειν χρῇ, κἂν φυγῇ ζημιοῦν, ὑπὸ γέροντος τοῦτο πάσχειν τὸν γέροντα.

719. (ὅροι μὲν ἀγορᾶς : Κορωνίς, ὅτι ἐπεισίασι· καὶ εἰσὶ στίχοι ἰαμβικοὶ ἀκατάληκτοι ιϛ'.)

720. ἀγοράζειν : Ἐν ἀγορᾷ διατρίβειν ἐν ἐξουσίᾳ καὶ παρρησίᾳ ἐστὶν, (Ἀττικῶς. ὅθεν καὶ ἡ Κόριννα, ἔτι δὲ ὁ Πίνδαρος ἀττικίζει, ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν Παρθενίων ἐχρήσατο τῇ λέξει.

723. ἀγορανόμους δέ :Οὓς νῦν λογιστὰς καλοῦμεν.

724. τοὺς δ' ἱμάντας ἐκ λεπρῶν : Οἱ μὲν ἀπὸ τοῦ λέπειν, ὅ ἐστι τύπτειν, οἱ δὲ ἀπὸ Λεπρέου πολίσματος τῆς Πελοποννήσου, (ἧς μέμνηται καὶ Καλλίμαχος ἐν ὕμνοις [in Jov. 39],

Καυκώνων πτολίεθρον, ὃ Λέπρειον περάτισται.)

οἱ δὲ ἐκ λεπρῶν βοῶν. φασὶ γὰρ τὰ τῶν λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ, ὅτι οἱ Μεγαρεῖς λεπροὶ τὸ σῶμα, πρὸς οὓς σπένδεται. ἄμεινον δὲ λέγειν ὅτι τόπος ἔξω τοῦ ἄστεος Λεπρὸς καλούμενος, ἔνθα τὰ βυρσεῖα ἦν· οὗ καὶ ἐν Ὄρνισι [149] μέμνηται,

τί δ' οὐ τὸν Ἠλεῖον Λεπρὸν οἰκίζετε;

(ἱμάντας δὲ λώρους, φραγγέλια. τὸ γὰρ παλαιὸν φραγγέλαις ἔτυπτον οἱ λογισταὶ τοὺς τῆς ἀγορᾶς.)

726. φασιανός : Ἀντὶ τοῦ συκοφάντης. παρὰ τὴν φάσιν, ὅ ἐστι φαίνειν. ἔστι δὲ καὶ πόλις τῆς Σκυθίας Φᾶσις, ὁμώνυμος τῷ ποταμῷ.

729. ἀγορὰ 'ν Ἀθάναις : Ἔρχεται Μεγαρεύς τις. οἰκεία δὲ πάνυ ἡ ἔννοια καὶ οἴκτου μεστή. πεινῶν γὰρ ἥκει καὶ τὰς θυγατέρας πωλεῖ διὰ τὸν λιμὸν, εἰς χοίρους αὐτὰς μετασχηματίσας.

730. ἐπόθουν τυ ναὶ τὸν φίλιον : Νὴ τὸν φίλιον Δία, ἐπόθουν σε ὥσπερ μητέρα.

732. ἀμβᾶτε : Ἀνάβητε. (ἐμφαντικῶς διὰ τὸν λιμὸν

ἐδήλωσεν εἰπὼν, ἐμβᾶτε πρὸς τὴν μᾶζαν.) οἱ Μεγαρεῖς δὲ τρέπουσι τὸ ζ εἰς δύο δδ.

733. ἀκούετον δή ποτ᾽ : Παρὰ προσδοκίαν. δέον γὰρ εἰπεῖν προσέχετε ἡμῖν τὸν νοῦν, ἔφη τὴν γαστέρα, ἐπειδὴ ἐπείνων. (ταῦτα δὲ λέγει ὁ Μεγαρεὺς πρὸς τὰς ἑαυτοῦ θυγατέρας, ἃς ἤγαγεν ἐπὶ τὸ πωλῆσαι διὰ τὸν λιμόν. μικρὰ δὲ ἡ ἔννοια τῷ ποιητῇ.)

736. ἐγώνγα καὐτός φαμι : Καὶ ἐγὼ αὐτὸς τοῦτο σύμφημι.

737. φανερὰν ζαμίαν : Ἐπεὶ κόραι ἦσαν, καὶ οὐ χοῖροι. ἡ τούτων δὲ φροντὶς καὶ δαπάνη πολλή ἐστιν.

738. Μεγαρικά τις μηχανά : Ἀντὶ τοῦ πονηρά, πανοῦργος μηχανή. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς, ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες.

739. (χοίρους γὰρ ὑμὲ σκευάσας : Τοὺς παρ᾽ ἡμῖν νῦν λεγομένους δέλφακας, λέγω δὴ τοὺς μικροὺς σῦς, οὓς οἱ ἀρχαῖοι χοίρους ἐκάλουν. Ὅμηρος [Od. Ξ, 80]

ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι,
χοίρε᾽· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.

ἐκάλουν δὲ τοὺς μεγάλους χοίρους δέλφακας. ἐν γοῦν τοῖς ἑξῆς [786] φησι

νεαρὰ γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἕξει μεγάλα.)

740. (τὰς ὁπλὰς τῶν χοιρίων : Οὐ μόνον Ἀριστοφάνης ἐπὶ τῶν χοίρων τὰς ὁπλὰς εἴρηκεν, ἀλλὰ καὶ Σιμωνίδης ὁμοίως ἐπὶ χοίρου

ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν.

καὶ Ἡσίοδος [Op. 487] ἐπὶ βοῶν

μήτ᾽ ἄρ᾽ ὑπερβάλλων βοὸς ὁπλήν.

καὶ τὸ ἐναντίον ἐπὶ τοῦ ἵππου [Scut. 62] « νύσσοντες χηλῇσιν. »)

741. ἐξ ἀγαθᾶς ὑός : Ὗν ἐπὶ θηλείας, σῦν δὲ ἐπὶ ἄρρενος. κέχρηνται δὲ καὶ ἀδιαφόρως.

742. εἴπερ ἵξετ᾽ οἴκαδες : Ἐκ δευτέρου εἰς τὸν οἶκον εἰ ἀφίξεσθε, τῆς πρώτης πειραθήσεσθε λιμοῦ. Δωριεῖς δὲ θῆλυ λέγουσι τὴν λιμόν.

743. τὰ πρῶτα, ἀντὶ τοῦ ἄκρας λιμοῦ πειραθήσεσθε. R.

744. ῥυγχία : Τὰ ῥυγχία κυρίως ἔφη. ἐπὶ γὰρ χοίρου λέγεται ῥύγχος. (ἄμεινον δὲ ἀντὶ τοῦ γράφειν ταδὶ, τὰ δή. δωρίζει γάρ. γρυλλιξεῖτε δὲ, δίκην χοίρων βοήσετε. κοΐ δὲ, ποιὰ τῶν δελφακίων φωνή.

747. χήσεῖτε : Ἀντὶ τοῦ ἀφήσετε φωνήν. R.)

χοιρίων μυστηρικῶν : Ὅτι ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος θύεται. (ἀνάκειται δὲ τὸ ζῷον τῇ θεῷ.) ἕκαστος δὲ τῶν μυουμένων ὑπὲρ ἑαυτοῦ ἔθυεν. ταῦτα δὲ καλεῖται μυστηρικά.

748. καρυξῶ : Ἤγουν κηρύσσω. *Vict.*

749. ἆρα θέλεις. R.

750. ἀγοράσοντες ἥκομες : Ἐν ἀγορᾷ διατρίψοντες ἤλθομεν, ἢ ὠνησόμενοί τι, ἢ πωλήσοντες.

751. (διαπεινᾶμες : Πίνομεν ὤφειλεν εἰπεῖν, πρὸς τὸ πῦρ καθήμενοι· χειμῶνος γὰρ οἱ πότοι πρὸς τὸ πῦρ γίνονται· ὁ δὲ πεινῶμεν εἶπε διὰ τὸν λιμόν. ἢ ἐσχάτως πεινῶμεν, ὥστε καὶ τὰ ἱμάτια ἀποδόμενοι καθεζόμεθα πρὸς τῷ πυρὶ διὰ τὸ ψῦχος. ἢ διαπύρως καὶ ἐκτόπως πεινῶμεν, ὃ καὶ βέλτιον.)

752. ἀλλ᾽ ἡδύ τοι νὴ τὸν Δί᾽, ἢν αὐλὸς παρῇ : Ὡς ἐπὶ πινόντων καὶ ἀκουόντων αὐλῶν. ὅτι τὸ πῦρ εὐωχίας σημαντικόν. ὥστε ἡδὺ ἦν καθῆσθαι μετὰ αὐλῶν.

753. οἷα δὴ ἀντὶ τοῦ τοιαῦτα δή. R.

754. ὡδοιπόρουν. ἐκεῖθεν ἦλθον. R.

755. Πρόβουλοι : Οἱ στρατηγοί. R.

756. ὅπως τάχιστα : Καὶ τοῦτο παρ᾽ ὑπόνοιαν πικρῶς ἐπήγαγε τὸ ἀπολοίμεθα. ἔδει γὰρ εἰπεῖν ὅτι πῶς σωθῶμεν.

757. (αὐτίκ᾽ ἄρ᾽ ἀπαλλάξεσθε : Πρὸς τὸ ῥηθὲν παρὰ τοῦ Μεγαρέως ἀπήντησεν ὁ Δικαιόπολις ἀστείως. εἰ γὰρ ἀπώλλυσθέ, φησι, ἀπηλλάττεσθε ἂν πραγμάτων.) σαμὰν δὲ ἀντὶ τοῦ τί μήν. τί γὰρ ἄλλο καταλείπεται ἢ τοῦτο.

758. ἀντὶ τοῦ εἰς τὰ Μέγαρα. R.

759. ᾇπερ τοὶ θεοί : Ἀντὶ τοῦ ὥσπερ οἱ θεοὶ πολυτίμητοί εἰσι καὶ τίμιοι, οὕτω καὶ ὁ σῖτος πολλῆς τιμῆς ἐστι. παίζει οὖν.

760. (ἅλας οὖν φέρεις : Ἐν Νισαίᾳ τῆς Μεγαρίδος ἅλες πήγνυνται. ἦν δὲ ὁ τόπος ὑπήκοος τῶν Ἀθηναίων.)

ὑμὲς αὐτῶν ἄρχετε : Διὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθηναίους ἔφη, ὑμεῖς αὐτῶν ἄρχετε.

762. ὄκκ᾽ ἐσβαλεῖτε : Εἰσβαλεῖν ἐστι τὸ τινὰς ἐν ἀγρῷ εἰσελθόντας ἐκκόψαι πάντα τὰ ἐν αὐτῷ. λέγει οὖν ὁ Μεγαρικὸς ὅτι ποῖα σκόροδα; ἅτινα ὑμεῖς ἐπελθόντες τοῖς χωρίοις τῆς Μεγαρίδος, καθάπερ εἰ γήϊνοι μύες ἐκκόπτετε. ἀπὸ δὲ τῶν σκορόδων ἐσήμανε καὶ τὰ ἄλλα πάντα. τούτων δὲ ἐμνήσθη ὡς μηδὲ τῶν οὕτως εὐτελῶν φειδομένων τῶν Ἀθηναίων.

763. (πάσσακι : Ὑποκοριστικῶς τῷ πασσάλῳ.) ἄγλιθας δὲ τὰς κεφαλὰς τῶν σκορόδων. φησὶν οὖν ὅτι ὥσπερ ἀρουραῖοι μύες ὀρύσσετε πασσάλῳ τὰς ἄγλιθας.

764. χοίρους ἐγώγα μυστικάς : Διὰ τὸ ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοίρους θύεσθαι.

766. ἄντεινον, αἴ λῇς : Ἀνάτεινον, εἰ βούλει, καὶ κρεμάσας ἐπίσκεψαι, πόσου βάρους εἰσίν. (εἰώθασι δ᾽ οἱ τὰς ὄρνεις ὠνούμενοι ἀνατείνειν ταύτας καὶ τὸ βάρος αὐτῶν σκοπεῖν, καὶ οὕτω καταλαμβάνειν εἶναι παχείας. ἀπὸ τούτων οὖν καὶ ἐπὶ τῶν χοίρων τοῦτο ποιῆσαι παρακελεύεται.)

767. τουτὶ τί ἦν τὸ πρᾶγμα ; Ὁ Ἀττικὸς κρεμάσας τὴν παῖδα ὁρᾷ τὸ αἰδοῖον αὐτῆς, καὶ ἐρωτᾷ περὶ αὐτοῦ, ὅ τι ποτέ ἐστιν. οὐ γὰρ ἦν ὅμοιον τῷ αἰδοίῳ τοῦ χοίρου.

769. ἢ οὐ χοῖρος ἔσθ᾽ ἅδε : Τὸ αἰδοῖον δείκνυσι τῆς παιδός.

770. θᾶσθε τοῦδε τὰς ἀπιστίας : Ὁ Μεγαρεὺς πρὸς τοὺς θεατὰς, θεᾶσθε, φησὶ, τοῦ Δικαιοπόλιδος τὰς ἀπιστίας.

771. οὔ φατι : Οὐ λέγει. R. (ἀλλὰ μάν, αἴ λῇς : Ἀλλὰ μήν, ἐὰν θέλῃς. τὸ δὲ περιδοῦ μοι Ὅμηρος [Il. Ψ, 485] « δεῦρό γε νῦν τρίποδος περιδώμεθα. »)

772. περὶ θυμιτιδᾶν ἁλῶν : Εἰ βούλει, φησί, ποιησώμεθα συνθήκας περὶ θυμητιδῶν ἁλῶν, οἷον μετὰ θύμου τετριμμένων. καὶ ἑτέρωθι [1099]

ἅλας θυμίτας δοὺς ἐμοὶ καὶ κρόμμυα.

773. αἴ μὴ 'στιν οὗτος χοῖρος : Χοῖρον δὲ τὸ αἰδοῖον τῆς γυναικός. R. τοῦτό φησιν, ἐπεὶ καὶ τὸ γυναικεῖον αἰδοῖον χοῖρον ἐκάλουν (οἱ Ἕλληνες. διὰ τοῦτο γοῦν ὁ Ἀττικὸς ἐπιφέρει, « ἀλλ' ἔστιν ἀνθρώπου. »)

774. καὶ τὸν Διοκλέα : Διοκλῆς τις ἥρως ἐτιμᾶτο παρὰ Μεγαρεῦσιν, ᾧ καὶ ἀγῶνα τελοῦσι τὰ Διόκλεια. οὗ καὶ Θεόκριτος [12, 27] μέμνηται

(Νισαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς,
ὄλβιοι, οἰκείητε τὸν Ἀττικόν, ὡς περίαλλα
ξεῖνον τιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.

ὃν δὲ ἐπὶ τῷ Διοκλεῖ ἔθηκεν ἀγῶνα Ἀλκάθους ὁ Πέλοπος, ἐπιτελοῦσιν οἱ Μεγαρεῖς.)

776. ἢ θέλεις ἀκοῦσαι λαλουσῶν; R.

778. οὐ χρῆσθα σιγᾶς : Λεληθότως πρὸς τὰ χοιρίδια λέγει τὸ οὐ χρῆσθα σιγᾶν. — τουτέστι φθέγξαι. R.

779. πάλιν τύ γ' ἀποισῶ : Ἐὰν σιωπήσητε, ἀποφέρω πάλιν ὑμᾶς οἴκαδε λιμώξοντας.

780. κοΐ κοΐ : Αἱ παῖδες μιμοῦνται τὴν τῶν χοίρων φωνήν, κοΐ κοΐ λέγουσαι.

781. νῦν γε χοῖρος φαίνεται : Νῦν σαφῶς σημαίνει ὅτι χοῖρος τὸ γυναικεῖον αἰδοῖον λέγεται. (ἔτι δὲ καὶ κύσθος.) ποττὰν ματέρα δὲ πρὸς τὸ τῆς μητρὸς αἰδοῖον.

784. θύσιμος : Διὰ τὸ εἶναι αὐτὴν γυναῖκα τοῦτο ἔφη.

785. κέρκον οὐκ ἔχει : Τὰ γὰρ κόλουρα ἐν ταῖς ἱερουργίαις οὐ θύεται, καὶ καθόλου, ὅπερ ἂν μὴ ᾖ τέλειον καὶ ὑγιές, οὐ θύεται τοῖς θεοῖς.

786. νέα γάρ ἐστι : Τὸ νέα, ἀντὶ τοῦ ἡβῶσα καὶ αὐξομένη, ἕξει παχεῖαν καὶ μεγάλην οὐράν. (τοὺς γὰρ μείζονας λοιπὸν χοίρους δέλφακας ἐκάλουν. ἅμα δὲ καὶ ὡς ἐπὶ κόρης παίζει, ὅτι ἕξει μεγάλην οὐράν, τὴν τοῦ ἀνδρὸς πόσθην. αἰνίττεται δὲ εἰς τὸ κακέμφατον.)

789. ὡς ξυγγενὴς ὁ κύσθος : Τῇ ἑτέρᾳ κόρῃ, φησίν, ὅμοιός ἐστι· διὰ τὸ ἀδελφὰς αὐτὰς εἶναι.

790. ἐκ τοῦ αὐτοῦ. R.

791. κἀναχνοανθῇ : Ἀντὶ τοῦ δασυνθῇ. χνοῦς γὰρ ἡ πρώτη θρὶξ καὶ λεπτή. τουτέστιν, ἐὰν ἀκμάσῃ καὶ ἡβήσῃ.

792. (κάλλιστός ἐστι χοῖρος : Κοινὴ ἡ ἔννοια ἐπί τε τοῦ ζῴου τοῦ χοίρου καὶ ἐπὶ τοῦ αἰδοίου τῆς κόρης. πάνυ δὲ μετὰ χάριτος ἔφη, ἅμα μὲν πρὸς θυσίαν, ἅμα δὲ καὶ πρὸς τὴν συνουσίαν.) τυθῆναι δὲ λέγει αὐτὴν τῇ Ἀφροδίτῃ, τὸ φθαρῆναι αὐτήν.

793. (ἀλλ' οὐχὶ χοῖρος : Πολλοὶ τῶν Ἑλλήνων οὐ θύουσι χοίρους τῇ Ἀφροδίτῃ, ὡς βδελυττομένῃ διὰ τὸν Ἄδωνιν αὐτόν.)

794. μόνᾳ γε δαιμόνων : Αὐτῇ μόνῃ μάλιστα ὁ χοῖρος θύεται, ὡς πρὸς τὸ αἰδοῖον.

796. τὸν ὀδελὸν ἐμπεπαρμένον : Βοιωτοὶ τὸν ὀβελὸν ὀδελὸν λέγουσι.

798. τὸν Ποτείδαν : Ἀντὶ τοῦ τὸν Ποσειδῶ. *Vict.*

799. πάνθ' ἃ δίδως : Ἅτινα ἂν παραβάλῃς αὐταῖς ἐσθίουσιν.

800. τὸ ἐρώτη ἀντὶ τοῦ ἐρώτησον. R.

801. τρώγοις ἐρεβίνθους : Ἔπαιξε πρὸς τὸ αἰδοῖον τοῦ ἀνδρός, ἐπεὶ καὶ ἐρέβινθον αὐτὸ καλοῦσι.

802. τί δαὶ φιβάλεως : γένος συκῆς ἡ φίβαλις. R. (τόπος Μεγαρίδος, ἄλλοι Ἀττικῆς. ἀμφιβάλλεται γάρ. γένος δὲ συκῆς ἡ φίβαλις ἐπιτήδειον εἰς ξηρασίαν ἰσχάδων, ἐπεὶ δὲ ἀπὸ τοῦ ἰσχναίνεσθαι ἰσχὰς καλεῖται, καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων φιβάλεις καλοῦσιν. ὁ δὲ τόνος φιβάλεως προπαροξυτόνως, ὡς κορώνεως, πελέκεως.)

807. οἷον ῥοθιάζουσ' : Ἀθρόως καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι καὶ ἐσθίουσι. θαυμαστικῶς δὲ τὸ οἷον. (μετὰ ῥόθου καὶ ψόφου ἐσθίουσιν.) ἀντὶ τοῦ τρώγουσι. R.

808. τραγασαῖα : Ἀπὸ τοῦ τρώγειν ἔπαιξεν. ἅμα δὲ καὶ ὡς ἀπὸ πόλεως.

810. τὰν δὲ μίαν ἀνειλόμην : Τῶν ἰσχάδων δηλονότι μίαν ἔλαβον.

811. ἀστείω γε τὼ βοσκήματε : Ἀνθηρὰ καὶ καλὰ τὰ βοσκήματα. (ἐπὶ χοίρων δὲ καλεῖται τὸ βόσκημα. Ξενοφῶν δὲ ἐν ἑβδόμῳ τῆς Παιδείας [8, 1, 9?] καὶ ἐπὶ ἵππων τέθεικε τὴν λέξιν.)

813. σκορόδων τροπαλλίδος : Διαβάλλει τοὺς Μεγαρέας ὅτι εἰς τοσοῦτον ἦλθον πενίας ὡς τὰ τέκνα πωλεῖν δεσμοῦ σκορόδων καὶ χοίνικος ἁλῶν. τροπαλλὶς δὲ ἡ δέσμη τῶν σκορόδων. ἀστείως δὲ ὁ Μεγαρεὺς ἅμα καὶ περιπαθῶς ταῦτα παρὰ τοῦ Δικαιοπόλιδος ζητεῖ, ἃ πρότερον οἱ Μεγαρεῖς ἄλλοις παρεῖχον.

815. τὸ σοί παρέλκεται. *R. Vict.*

816. Ἑρμ' ἐμπολαῖε : Τὸ πλῆρες Ἑρμᾶ. λείπει δὲ τὸ γένοιτο. ἐμπολαῖε δὲ ἐμπορικέ, πραγματευτικέ. (ὁ Μεγαρικὸς δὲ πάνυ καλῶς ἐμφαίνει τὸν πολὺν λιμόν. ὡς εὐτυχῶς γὰρ πωλήσας τὴν θυγατέρα αὐτοῦ καὶ καλῶς, εὔχεται πάλιν οὕτως ἀποδόσθαι καὶ τὴν μητέρα. ἐμφαίνει δὲ τὸν μέγαν λιμόν.)

818. συκοφάντης πρὸς τὸν Μεγαρέα. R.

819. ἐγὼ φανῶ : Ἀποδείξω. ἔστι δὲ καὶ φάσις ὄνομα δίκης οὕτω καλουμένης.

821. ὅθενπερ ἀρχά : Ἐκ τοῦ συκοφαντεῖν δηλονότι.

822. κλάων μεγαριεῖς : (Ἐπειδὴ τῇ Μεγαρέων ἐχρῆτο φωνῇ.) ἀντὶ τοῦ λιμώξεις, ἢ εἰς Μέγαρα ἀπελεύσῃ, (ἢ τὰ Μεγαρέων φρονήσεις, ἢ τῇ Μεγαρέων διαλέκτῳ χρήσῃ).

οὐκ ἀφήσεις τὸν σάκον : Σάκος νῦν δι' ἑνὸς κ· ἀνωτέρω δὲ διὰ δύο.

823. φαντάζομαι : Ἀντὶ τοῦ συκοφαντοῦμαι. καλεῖ δὲ τὸν Δικαιόπολιν πρὸς τὸ συμμαχῆσαι αὐτῷ.

826. φαίνεις ἄνευ : Πρὸς τὴν ὁμωνυμίαν τοῦ φαίνεις παίζει, ὅτι καὶ ἐπὶ λύχνου τὸ φαίνειν καὶ ἐπὶ τοῦ κατηγορεῖν λέγεται.

827. τοὺς πολεμίους : Τούτους τοὺς παρὰ τὸν Μεγαρικόν. *R. Vict.*

828. εἰ μὴ 'τέρωσε : Εἰ μὴ ἀλλαχοῦ ἀπελθὼν ἑτέρους συκοφαντήσεις.

829. οἷον τὸ κακόν : Τὸ τῶν συκοφαντῶν. διαβάλλει οὖν τοὺς Ἀθηναίους ὡς πολλοὺς συκοφάντας ἔχοντας.

832. ἀλλὰ μὴν οὐκ ἐπιχώριον : Τὸ χαίρειν διὰ τὰ κατέχοντα ἡμᾶς κακά.

833. πολυπραγμοσύνησιν : (Ὅτι προπετῶς ἐφθεγξάμην τὸ χαίρειν, εἰς κεφαλήν μου τραπείη.) λείπει δὲ τὸ ἕνεκα, ἵνα ᾖ ἕνεκα τῆς πολυπραγμοσύνης. ὁ δὲ λόγος, ἀλλὰ τὸ χαίρειν ἔλθοι εἰς τὴν κεφαλήν μου, ὅτι πολυπραγμονῶ εἰπών σοι χαίρειν. (οὕτως δὲ ἔλεγον οἱ Ἀττικοί, εἰ κατηγόρουν τινὸς, εἰς κεφαλὴν τρέποιτο. τοῦτο δὲ ἐπὶ κακῶν λέγοντες. ἐπειδὴ δὲ ὁ Μεγαρεὺς λέγει οὐκ εἶναι αὐτοῖς ἐπιχώριον τὸ χαίρειν, φησὶν ὁ Ἀττικὸς, διὰ τὴν πολυπραγμοσύνην εἰς τὴν ἐμὴν κεφαλὴν τρέποιτο τὸ χαίρειν, ἀντὶ τοῦ, ὅτι πολυπράγμων εἰμὶ, εἰπών σοι μὴ βουλομένῳ τὸ χαίρειν, γένοιτο τοῦτο εἰς τὴν ἐμὴν κεφαλὴν τραπῆναι. ἀστείως δὲ πάνυ. κἄνις δὲ ἀντὶ τοῦ καὶ χωρίς.)

835. (παίειν ἐφ' ἅλὶ τὰν μάζαν : Ἐσθίειν μετὰ τῶν ἁλῶν τὸν ἄρτον διὰ τὸ ἀπορεῖν προσφαγίου.)

836. (εὐδαιμονεῖ γ' ἄνθρωπος : Ἐξελθόντων τῶν ὑποκριτῶν καὶ μένοντος τοῦ χοροῦ μετάβασις εἰς σύστημα μονοστροφικὸν περιόδων ἑξακώλων δʹ. ὧν ἡγοῦνται στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο, μεθ' οὓς κῶλα δίμετρα ἀκατάληκτα· τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἑξῆς τριῶν περιόδων. καὶ αἱ μὲν πρῶται παραγράφῳ, ἡ δὲ τελευταία κορωνίδι σημειοῦται.)

838. (ἐν τῇ 'γορᾷ καθήμενος : Ἔν τισιν εὑρέθη, ἐν τἀγορᾷ καθήμενος, μόνους τοὺς καρποὺς ἐξοίσεται.)

839. Κτησίας : Οὗτος ὁ Κτησίας ὡς συκοφάντης διαβάλλεται.

841. καθεδεῖται : Κάθεται. *Vict.*

842. ὑποψωνῶν σε : Παρακλέπτων. ἐπὶ ὀψωνίᾳ κακουργῶν βλάψει, (διότι αὐτὸς μόνος συναλλάττει τὰς ἀγοράς. Ἄλλως. προστιθεὶς τῇ ὀψωνίᾳ. εἰσὶ γὰρ πολλοὶ διὰ μικρᾶς προσθήκης ὠνούμενοι. πημανεῖται δὲ βλάψει, λυπήσει ὦ Δικαιόπολι.)

843. ἐξομόρξεται : (Ἐναποψήσεται, ἐναπομάξει.) ὡς καταπύγων δὲ κωμῳδεῖται ὁ Πρέπις. ἀντὶ τοῦ οὐκ ἀνέξῃ τῆς κιναιδίας Πρέπιδος. — μαλακίαν. R.

844. οὐδ' ὠστιεῖ Κλεωνύμῳ : Ὠθήσεις, φιλονεικήσεις. ἀντὶ τοῦ οὐδὲ πιεσθήσῃ ὑπὸ Κλεωνύμου, ἀναγκάζοντός σε κινεῖν. οὗτος δὲ ὁ Κλεώνυμος ὡς ἀδηφάγος κωμῳδεῖται καὶ ῥίψασπις.

845. φαεινήν, λαμπράν. τὸ δίει διελεύσῃ.

846. Ὑπέρβολος : Τοῦτον ὡς φιλόδικον διαβάλλει συνεχῶς Ἀριστοφάνης. ἦν δὲ στρατηγὸς Ἀθηναίων.

849. Κρατῖνος : Οὗτος μελῶν ποιητής. κωμῳδεῖται δὲ ἐπὶ μοιχείᾳ καὶ ὡς ἀσέμνως κειρόμενος. μοιχός δὲ εἶδος καὶ ὄνομα κουρᾶς ἀπρεποῦς κιναιδώδους. — μιᾷ δὲ μαχαίρᾳ εἶπεν ὃ καλοῦμεν ἡμεῖς ξυράφιον. R.

850. (οὐδ' ὁ περιπόνηρος : Ὡσεὶ ἔλεγεν ὁ περιφόρητος Ἀρτέμων, ἀπὸ τῆς παροιμίας, ἧς μέμνηται καὶ Ἀνακρέων, ταχθείσης ἐπὶ καλοῦ καὶ ἁρπαζομένου πρὸς πάντων παιδός. παρ' ὑπόνοιαν δὲ ἔφη τὸ Ἀρτέμων. οὐ γὰρ τοῦτον, ἀλλὰ τὸν Κρατῖνον βούλεται δηλῶσαι.) συνεχρόνισε δὲ τῷ δικαίῳ Ἀριστείδῃ οὗτος ὁ Ἀρτέμων, ὃς ἦν ἄριστος μηχανητής. (διὰ δὲ τὸ χωλὸν αὐτὸν εἶναι, ὅπου ἂν κατειλήφει πόλεμος καὶ χρεία μηχανῆς ἦν ἐπὶ τὸ τεῖχος καταβληθῆναι, ἢ τὸ τοιοῦτον, μετεπέμποντο αὐτὸν φερόμενον. ἀπὸ τούτου οὖν ἡ παροιμία. καὶ πάντες οἱ σοφοὶ περιφόρητοι καλοῦνται.)

851. ὁ ταχὺς ἄγαν τὴν μουσικήν : Ὡς ἐπὶ τροχοῦ ποιοῦντος αὐτοῦ ποιήματα. ἦν δὲ καὶ μελοποιός.

852. (ὄζων : Ὡς δυσώδη διαβάλλει αὐτόν. τραγασαίου δὲ) διὰ τὴν τῶν τράγων δυσωδίαν εἶπε.

854. οὗτος ὁ Παύσων ζωγράφος πένης σκωπτολόγος. R.

855. Λυσίστρατος : Ἐπὶ μαλακίᾳ διεβάλλετο. ἐν ἐνίοις δὲ καὶ πένης ὁ αὐτὸς καὶ κυβευτής. ἐκαλεῖτο δὲ καὶ χηναλώπηξ.

Χολαργέων : Δῆμος τῆς Ἀττικῆς οἱ Χολαργεῖς τῆς Ἀκαμαντίδος φυλῆς.

856. ὁ περιαλουργός· Ὁ κακοῖς βεβαμμένος, ἢ ὁ βαθὺς τοῖς κακοῖς. ἀπὸ τῆς βαφῆς τῆς πορφύρας, ἣ καλεῖται ἁλουργίς. (μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφύρας τῆς θαλασσίας· ὅτι ἐκ βάθους τὸ ὄστρακον εὑρίσκεται. ἁλουργὴς ἐσθὴς ἡ πορφυρᾶ.)

858. πλεῖν ἢ τριάκονθ' ἡμέρας : Ἀντὶ τοῦ τριάκοντα ἡμέρας. ὁ γὰρ μὴν τριάκοντα ἡμέραις πληροῦται.

860. ἔκαμόν γα τὰν τύλαν : (Κορωνίς. εἰσίασι γὰρ οἱ ὑποκριταὶ, καὶ εἰσὶν ἴαμβοι ξεʹ. Ἄλλως.) ἔρχεταί τις ἀνὴρ Θηβαῖος καμὼν τὸν ὦμον ἐν τῷ βαστάζειν τὸ φορτίον ὃ ἔφερε, καὶ φησίν· ἴττω Ἡρακλῆς, ἀντὶ τοῦ ἴστω Ἡρακλῆς, ἔκαμον τὸν ὦμον κακῶς βαστάζων. τύλον δὲ ἀρσενικῶς καὶ τύλαν θηλυκῶς ἔλεγον τοῦ ὤμου τὸ τετυλωμένον (καὶ πεπιλημένον καὶ τετριμμένον ἐκ τῆς σαρκὸς, ὁποῖον πολλάκις ἐπὶ τοῦ ὤμου γίνεται τοῖς ἀχθοφόροις ἐκ τοῦ βαστάζειν τι συνεχῶς. καὶ Τηλεκλείδης « τραχήλου τύλαν » εἶπεν).

861. (γλάχωνα : Τὴν ὀρίγανον. κλίνεται καὶ γληχώ, ὡς Σαπφώ, καὶ βληχώ.)

862. αὐληταὶ πάρα : Ἀντὶ τοῦ πάρεστε. ἐσπούδαζον γὰρ οἱ Ἀθηναῖοι περὶ τὸν αὐλόν.

863. τοῖς ὀστίνοις φυσῆτε : Λείπει τὸ αὐλοῖς. (ὀστίνοις δὲ ἔφη,) ἐπεὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. τὸ δὲ πρωκτὸν κυνός (κομμάτιόν ἐστιν) ἀπὸ παροιμίας, ἣν τοῖς ὀφθαλμιῶσιν ἔλε

γον, ἐς πρωκτὸν κυνὸς βλέπε. (μέμνηται ἐν Ἐκκλησιαζούσαις [255]

τούτῳ μὲν εἶπον, ἐς πρωκτὸν κυνὸς βλέπε.)

864. οἱ σφῆκες : Ἀπὸ τοῦ ἠχεῖν τοὺς αὐλητὰς ὡς οἱ σφῆκες. μετὰ τοῦ Θηβαίου δὲ πολλοὶ αὐληταὶ ἦλθον εἰς τὰς θύρας τοῦ Δικαιοπόλιδος.

866. Χαιριδεῖς βομβαύλιοι : (Τὰ τοῦ Χαίριδος πεπαιδευμένοι ἢ μελετῶντες. Χαῖρις δὲ αὐλητὴς Θηβαῖος ἄμουσος, οὗ μέμνηται ἐν ἀρχῇ τοῦ δράματος

ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον.

Ἀττικὴ δὲ ἡ συνήθεια τὸ οὕτω λέγειν ἀπὸ τοῦ Χαίριδος Χαιριδεῖς, καὶ ἀπὸ τῆς περιστερᾶς περιστεριδεῖς.)

(βομβαύλιοι : Αὐληταί. τὸ δὲ βομβύλιος ἐν προσθέσει τοῦ α ἔφη βομβαύλιος, παίζων παρὰ τὸν αὐλόν. βομβύλιος δὲ εἶδος μελίσσης, καὶ εἴρηται παρὰ τὸ βομβεῖν.)

867. νὴ τὸν Ἰόλαον : Ἰόλαος ἥρως οὕτω τιμώμενος παρὰ Θηβαίοις. τὸ δὲ ὄπισθέν μου φησὶ, φυσῶντες τῷ πνεύματι αὐτῶν, τὰ ἄνθη τῆς γλήχωνος ἀπέβαλον. ἐβάσταζε γὰρ φορτίον γλήχωνος. τὸ δὲ ἐπιχαρίτως ἀντὶ τοῦ κεχαριτωμένως (καὶ κεχαρισμένως ἡμῖν ἀπόλοιντ' ἄν).

871. τετραπτερυλλίδων : Τῶν ἀκρίδων, παρὰ τὸ δ' ἔχειν πτερά. (ὀρταλίχων δὲ τῶν ἀλεκτρυόνων κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον).

872. κολλικοφάγε : Κόλλιξ εἶδος ἄρτου περιφεροῦς.

874. (ὀρίγανον δὲ θηλυκῶς Ἀττικοί.

γλαχώ : Ἡ γλαχὼ τῆς γληχοῦς. Ἀττικοὶ δὲ βληχώ φασιν.)

ψιάθως : Ψίαθος ἡ χαμεύνη, καὶ τὸ φυτὸν ἐξ οὗ πλέκεται ψίαθος. *Vict.*

875. (φαλαρίδας : Οἱ μὲν γένος ὀρνίθων, οἱ δὲ τὰς ἐν τῇ Φαληρίδι γενομένας ἀφύας.)

877. ὀρνιθίας : Οὕτως ὁ σφοδρὸς χειμὼν, ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται. οὕτω δὲ καὶ ἄνεμος ὀρνιθίας ὁ ἐπὶ τὴν γῆν τὰ ὄρνεα στορεννὺς (ὑπὸ τῆς τοῦ ψύχους πνοῆς). ὁ δὲ Σύμμαχος χειμῶνα ὀρνιθίαν ἀποδίδωσι διὰ τὸ χειμῶνος τὰ ὄρνεα ταῦτα ἐπιφαίνεσθαι, ὡς παρὰ Ἀράτῳ [1077].

879. σκάλοπας : Μύας τινὰς, οὓς φαμὲν σπάλακας.

880. (ἐνύδρεις : Εἶδος ζῴου ἡ ἔνυδρις. ἔστι δὲ ἰχθυοφάγον ὡς οἱ κάστορες.)

Κωπαΐδας : Κωπαῒς λίμνη ἐν Βοιωτίᾳ, ἐν ᾗ ἐγχέλεις πλεῖσται. (ἔστι δὲ καὶ πόλις ὁμώνυμος.)

882. δός μοι προσειπεῖν : Ὁ Δικαιόπολις ἀκούσας τὰ περὶ τῆς ἐγχέλεως, πρὸς τὸν Μεγαρέα λέγει ἄσμενος (ὅτι ὦ τερπνὸν καὶ καλὸν ἡμῖν τέμαχος κομίσας τὴν ἔγχελυν), δός μοι αὐτὴν προσειπεῖν.

883. πρέσβειραν : Ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου (Ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου, ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρεΐδας τις ἐξελθούσας κρῖναι) πρὸς τὴν Θέτιν λέγων,

δέσποινα πεντήκοντα Νηρήδων κορῶν.

884. (κἠπιχάριττα : Ἀντὶ τοῦ ἐπιχαρίτως ἔκβηθι τῷ ξένῳ.)

885. ὦ φιλτάτη : Ὁ Δικαιόπολις εἰληφὼς τὴν ἔγχελυν, λέγει ἀσμένως αὐτὴν ὁρᾶν.

886. ἐσιτοῦντο γὰρ οἱ χορευταὶ δημοσίᾳ. R.

887. Μορύχῳ : Ὁ Μόρυχος ἐπὶ ὀψοφαγίᾳ ἐκωμῳδεῖτο. (ἦν δὲ καὶ τῶν ἡδέως βιούντων. τραγῳδίας δὲ ποιητὴς οὗτος.)

888. τὴν ἐσχάραν μοι : Ἐσχάραν τὴν νῦν καλουμένην ἄρουλλαν. ῥιπίδα δὲ τὸν φυσητῆρα.

889. (τὴν ἀρίστην ἔγχελυν : Ἀττικῶς ἔγχελυν, Βοιωτοὶ ἔγχελιν. σκέψασθε δὲ ἀντὶ τοῦ θεάσασθε, προσέχετε.)

892. τῆς ξένης χάριν : Διὰ τὸ ἐπιξενίζεσθαι· (παίζων δὲ ἔφη).

894. ἐντετευτλανωμένης : Ἀντὶ τοῦ μετὰ τεύτλων ἑψηθείσης. μετὰ τεύτλων γὰρ ἤσθιον τὰς ἐγχέλεις. (λέγονται γὰρ τεύτλοις συνεψόμεναι ἥδισται εἶναι. καὶ ἀλλαχοῦ [Pac. 1014] φησὶ « τᾶς ἐν τεύτλοις λοχευομένας. »)

895. ἐμοὶ δὲ τιμά : Ἐμοὶ δὲ τὸ τίμημα αὐτῆς ποῖ ἔσται.

896. ἀγορᾶς τέλος : Ἔθος ἦν τὸ παλαιὸν, ὡς καὶ μέχρι τοῦ νῦν, τοὺς ἐν τῇ ἀγορᾷ τέλος διδόναι τοῖς λογισταῖς. λέγει οὖν ὁ Δικαιόπολις ὅτι τέλος λαμβάνω ταύτην ὑπὲρ ὧν ἐπώλησας.

898. (ἰῶγα : Ἀντὶ τοῦ ἐγὼ ταῦτα πάντα.)

899. (κεῖσ' ἄξεις ἰών : Γράφεται καὶ ἰὼ ἀντὶ τοῦ ἐγὼ, καὶ δύο στιγμαὶ ἐν τῷ ἄξεις, εἶτα τὸ ἰώ.)

900. ὅτι γ' ἔστ' Ἀθάνας : Ταῦτα, φησὶν, ὠνήσομαι παρὰ τῶν Ἀθηναίων, ἅπερ Βοιωτοὶ οὐκ ἔχουσι.

902. ἀφύας ἢ κέραμον : Καὶ ἀφύαι καὶ κέραμοί εἰσιν ἐν Βοιωτίᾳ. — ἐντί γὰρ ἀντὶ τοῦ εἰσί. R.

903. τᾷδε : Ἐνταῦθα. R.

904. (συκοφάντην ἔξαγε : Διαβάλλει πάλιν τοὺς Ἀθηναίους ὡς πολλοὺς ἔχοντας συκοφάντας.)

905. τὼ σιώ : Τοὺς θεούς. *Vict.*

906. λάβοιμι μέν τ' ἂν κέρδος : Εἰληφὼς τὸν συκοφάντην πεπληρωμένον ἁμαρτίας καὶ πωλήσας ἅτε πίθηκον εὑρήσω πολὺ κέρδος. ταῦτα δὲ εἰρωνευόμενος λέγει.

907. (ἅπερ πίθακον : Ὥσπερ πίθηκον, ἁμαρτίας καὶ ἀδικίας πεπληρωμένον.)

908. Νίκαρχος : Ὁ Νίκαρχος κωμῳδεῖται ὡς συκοφάντης. φανῶν δὲ ἀντὶ τοῦ κατηγορήσων.

911. Θείβαθεν, ἴττω Δεύς : Ἐκ τῆς Θήβης, ἴστω ὁ Ζεύς. — τῶδ' ἐμά δεικτικῶς ἀντὶ τοῦ τοῦδ' ἐμά. R.

912. τί δαὶ παθών : τί ἠδικημένος; R. κακὸν παθών : Ἠδικημένος. *Vict.*

913. ὀρναπετίοισιν : Ἀντὶ τοῦ ὀρνέοις. ὡς ἐπὶ ἐθνῶν δὲ λέγει. διὰ τί ὀρνέοις πόλεμον ποιεῖς, ὡσεὶ ἔλεγε Βοιωτοῖς, ἢ τισιν ἁπλῶς ἄλλοις.

915. τῶν περιεστώτων χάριν : Οἷον οὐκ εἰς σὴν χά-

ριν, ἀλλὰ τῶν παρόντων, ὡς φιλόπολις. (Εἰς τὸ αὐτό. ἰδίως, φησὶ, φράσω διὰ τοὺς παρεστῶτας.)

916. θρυαλλίδας : Διὰ τὰ ἐλλύχνια. ὡς ἀπορρήτου δὲ ὄντος καὶ δεινοῦ, εἰσφέρειν θρυαλλίδας εἰς τὰς Ἀθήνας.

920. ἐνθεὶς ἂν ἐς τίφην : Τίφην οἱ Ἀθηναῖοι καλοῦσι τὴν καλουμένην σίλφην. ἔστι δὲ ζῷον κανθαρῶδες. λέγει δὲ ὅτι ἐκ ταύτης δήσας τις τὴν θρυαλλίδα ἡμμένην εἰσπέμπει εἰς τὰ νεώρια, ἐπιτηρήσας πνέοντα βορέαν, καὶ οὕτω καύσει τὰς ναῦς. νεώριον δὲ καλεῖται ὁ τόπος ὁ περιέχων τὰ πλοῖα, ἡνίκα ἂν ἑλκυσθῶσιν. (Εἰς τὸ αὐτό. ἐμβαλὼν, ἐνδήσας τὴν θρυαλλίδα εἰς τὴν σίλφην.)

922. δι' ὑδρορρόας : (Διὰ στενοῦ τόπου.) ὑδρορρόα καλεῖται τὸ μέρος τῆς στεφανίδος, δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται.

923. (κεἴπερ λάβοιτο : Ἐὰν ἅψηται, φησὶ, μόνον, εὐθὺς καίονται.)

924. (σελαγοῖντ' ἄν : Αἱ ναῦς δηλονότι. ταῦτα δὲ λέγει ἐκπληττόμενος ὁ Δικαιόπολις τὸν συκοφάντην. ταῦτα δὲ εἰπὼν τύπτει εὐθὺς τὸν Νίκαρχον.) ἀντὶ τοῦ καίοιντο. R.

926. μαρτύρομαι : Ὁ Νίκαρχος τυπτόμενος ὑπὸ τοῦ Δικαιοπόλιδος λέγει μαρτύρομαι.

927. φορυτόν : Φρύγανον, σχοινίον, δέσμην χόρτου συρφετώδους. (ἢ φρυγανώδη ἀκαθαρσίαν. ὡς τὸ [Callimachi in schol. Vesp. 832]

σὺν δ' ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ' ἀείρας.

διὰ τοῦ ο μικροῦ. ἢ ψιαθῶδες πλέγμα, ἐν ᾧ τοὺς στάχυας ἐμβάλλουσιν. ἢ τὴν ἐκ φρυγάνων στρωμνήν.)

928. ὥσπερ κέραμον : Οἱ γὰρ καλῶς δεσμούμενοι κέραμοι δυσχερῶς (καὶ μόλις) κλῶνται.

929. (ἔνδησον ὦ λῷστε : Διπλῆ καὶ μετάβασις εἰς μονοστροφικὴν δυάδα, διστιχεῖς ἔχουσαν τὰς περιόδους.)

930. τὴν ἐμπολήν : Ἐμπολή λέγεται τὸ ἀπὸ τῆς πραγματείας κέρδος.

933. πυρορραγές : Πυρορραγῆ κεράμια καλεῖται ὅσα ἐν τῷ πυρὶ ῥήγνυνται εἰς τὸ ὀπτᾶσθαι. ὁ δὲ κέραμος πυρορραγὴς γενόμενος σαθρὸν ἠχεῖ.

936. (τριπτὴρ δικῶν : Δέον εἰπεῖν ἐλαῶν, ὁ δὲ εἶπε δικῶν, διὰ τὸ ἐπιτρίβειν αὐτὸν τὰ πάντα δικάζοντα καὶ συκοφαντοῦντα.)

937. φαίνειν ὑπευθύνους : Διὰ τὸ φαίνειν ἔπαιξε λυχνοῦχον εἰπών. R. τὸ φαίνειν καὶ ἐπὶ τοῦ συκοφαντεῖν νοεῖται καὶ ἐπὶ τοῦ ποιεῖν φῶς. (διὰ τοῦτο καὶ λυχνοῦχον ἐπήγαγεν, ὃν λέγομεν φανὸν, ἢ λαμπτῆρα.)

940. πῶς δ' ἂν πεποιθοίη : (Διὰ τὸ κράζειν καὶ βοᾶν τὸν συκοφάντην λέγει ὁ χορὸς ὅτι πῶς ἂν θαρροίη τοιούτῳ ἀγγείῳ ἄνθρωπός τίς ποτε, τοιοῦτον ἦχον ποιοῦντι; παρόσον καὶ οἱ ἄνθρωποι παραιτοῦνται ἐπὶ τοιούτων κεράμων ἀναγκαῖόν τι βαλεῖν, φοβούμενοι τὸ σαθρὸν αὐτῶν. Ἄλλως.) τῷ συκοφάντῃ λέγει (πῶς ἂν θαρροίη τις,) διὰ τὸ καὶ αὐτὸν κράζοντα μέγαν ἦχον ποιεῖν.

945. κατωκάρα : Κατὰ κεφαλήν. οὕτως δὲ ὑφ' ἓν οἱ Ἀττικοὶ λέγουσι.

946. ἤδη καλῶς ἔχει σοι : Ἤδη καλῶς ἐδεσμεύθη. (διπλῆ καὶ ἕπεται ὁμοία ἐκ τῶν ἐφθημιμερῶν τῇ πρώτῃ.) τὸ δῆσαι τὸν συκοφάντην. R.

947. μέλλω γέ τοι θερίδδειν : Καταβάλλειν. ἀπὸ μεταφορᾶς τῶν θεριζόντων, ὅτι τὰ δράγματα τιθέασιν. ἢ διότι πολλοῦ ἐθέριζον διὰ τὸν πόλεμον. — ὡς γεωργός φησι, μέλλω θερίζειν καὶ μέλλω κερδαίνειν πολλὰ καὶ καρποῦσθαι. R. (τινὲς δέ φασι τὸν Δικαιόπολιν εἰρηκέναι, μέλλοντα λαβεῖν τὰ τοῦ Βοιωτοῦ φορτία.)

948. (ἀλλ' ὦ ξένων βέλτιστε : Διπλῆ καὶ ἄλλη περίοδος τοῦ χοροῦ, ἰαμβικὴ καὶ αὕτη, ἐκ τριῶν μὲν διμέτρων ἀκαταλήκτων καὶ τετάρτου καταληκτικοῦ. πρὸς πάντα δὲ συκοφάντην ἀντὶ τοῦ εἰπεῖν σωρόν.)

952. μόλις γ' ἐνέδησα : Ὁ Δικαιόπολις λέγει τὸν συκοφάντην. (διπλῆ δὲ καὶ εἴσθεσις εἰς ἰάμβους δύο.)

954. (τὰν τύλαν : Τὸν τύλον τὸν ἀπὸ τοῦ ἀχθοφορεῖν γεγενημένον. Ἄλλως. τὴν ἀπὸ τοῦ ἀχθοφορεῖν ἐν τῷ τραχήλῳ γινομένην τοῦ τραχήλου σκληρότητα, ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζῴων.) ὃν δὲ εἶπεν ἄνω Ἰσμηνίαν, νῦν Ἰσμήνιχον ὁ Θηβαῖος καλεῖ.

955. χὤπως κατοίσεις αὐτόν : Ἐπεὶ οἱ βαστάζοντες κεράμους εὐλαβῶς πάνυ καὶ προσεχόντως βαστάζουσι.

956. διαπαίζει τὸν συκοφάντην ὡς οὐδὲν ὀρθὸν ἦν, ἵνα μὴ οὕτω κούφως ἀπέρχῃ. R.

958. εἰς τὸ κατὰ συκοφάντας μέρος. R.

959. Δικαιόπολι : Ἔρχεται Λαμάχου ἄγγελος, λέγων τῷ Δικαιοπόλιδι ὅτι ἔπεμψε Λάμαχος σὺν τρισὶ δραχμαῖς καὶ ἑτέρᾳ μιᾷ, ὅπως εἰς τὴν ἑορτὴν τῶν Χοῶν δῷς μοι τῆς μὲν μιᾶς δραχμῆς κίχλας, τῶν δὲ τριῶν ἔγχελυν.

961. εἰς τοὺς Χόας : Εἰς τὴν ἑορτὴν τῶν Χοῶν. ἐπετελεῖτο δὲ Πυανεψιῶνος (ὀγδόῃ. οἱ δὲ Ἀνθεστηριῶνος δεκάτῃ. φησὶ δὲ Ἀπολλόδωρος Ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην· κατὰ μέρος δὲ Πιθοιγίαν, Χόας, Χύτραν. καὶ αὖθις, ὅτι Ὀρέστης μετὰ τὸν φόνον εἰς Ἀθήνας ἀφικόμενος, ἦν δὲ ἑορτὴ Διονύσου Ληναίου, ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι Πανδίων. χοᾶ οἴνου τῶν δαιτυμόνων ἑκάστῳ παραστήσας, ἐξ αὐτοῦ πίνειν ἐκέλευσε μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίοι Ὀρέστης μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὑτὸν πίνων μόνος. καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ ἐνομίσθη οἱ Χόες. τοῦτο δ' ἡμῖν καὶ ἐν τοῖς πρόσθεν [ad Eq. 95] εἴρηται.) τὸ δὲ χοᾶς ὅτε ἐπὶ τῶν μέτρων τίθεται, περισπᾶται, (ὡς τὸ [Nub. 1238] « ἓξ χοᾶς χωρήσεται. » καὶ αὖθις [Eccl. 45]

τὴν ὑστάτην ἤκουσαν οἴνου τρεῖς χοᾶς
ἡμῖν ἀποτίσειν, κἀρεβίνθων χοίνικα.

μέτρον δέ ἐστιν Ἀττικὸν, χωροῦν κοτύλας ὀκτώ. καὶ ἀλλαχοῦ [infra 1085] Ἀριστοφάνης

ἐπὶ δεῖπνον ταχὺ βάδιζε τὴν κίστιν λαβών.

οἱ γὰρ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τινὰ τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἑψήματα καὶ κίστιν καὶ χοᾶ. Ὅμηρος Od. Ζ, 76] περὶ τῆς κίστεώς φησι·

μήτηρ δ' ἐν κίστει ἐτίθει μενοεικέα δαῖτα,
ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες.

χοὰς δὲ ὡς τιμάς, ἐκχύσεις, ἐναγίσματα ἐπὶ νεκροῖς, ἢ σπονδάς. ἐκπίπτει δὲ χρησμός, δεῖν χοὰς τοῖς τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος καὶ ἑορτὴν χοὰς ἄγειν. λέγονται καὶ θυσίαι νεκρῶν. Σοφοκλῆς [Œd. Col. 469]

πρῶτον μὲν ἱερὰς ἐξ ἀειρρύτου χοὰς
κρήνης ἐνέγκοι δι' ὁσίων χειρῶν θιγών·
ὅταν δὲ χεῦμα ταῦτ' ἀκήρατον λάβῃς,
κρατῆρές εἰσιν ἀνδρὸς εὔχειρος τέχνη.)

963. ὁ ποῖος οὗτος : Διασύρει ὡς ἄσημον τὸν Λάμαχον. (ταλαύρινος δὲ ὑπομονητικός, καρτερικὸς ἐν τῇ μάχῃ.)

965. κατασκίοις λόφοις : Δυναμένοις σκιάν τινι ποιῆσαι. ἀντὶ τοῦ ἐπιμήκεις, μεγάλους. — κραδαίνων δὲ σείων, παρὰ τὴν κράδην, ὃ τῆς συκῆς φύλλον δηλοῖ. ὅθεν τὸ κραδᾶν καὶ κραδαίνειν, κυρίως τὸ τὰ τῆς συκῆς φύλλα σείειν, καὶ πάλλειν. Junt.

966. οὐκ ἂν μὰ Δί' οὐ δοίην : Ὅτι ἐπὶ ὀψαρίων μόνον λέγεται τὸ τέμαχος, ἐπὶ δὲ τῶν ἄλλων τόμος, οἷον τυροῦ.

967. ἀλλ' ἐπὶ ταρίχη : Ταρίχη ἐσθίων ὁπλιζέσθω. τοῦτο γὰρ ἐν τοῖς πολέμοις ἤσθιον. (δέον δὲ εἰπεῖν ἐπὶ ταρίχη ἀνιστάτω, ἔφη, ἐπὶ ταρίχη τοὺς λόφους κραδαινέτω, διαπαίζων αὐτόν.)

968. ἂν δ' ἀπολιγαίνῃ : Ἐὰν δὲ θορυβῇ, ἢ ὀξέως βοᾷ, παρὰ τὸ λιγύ, καλέσω κατ' αὐτοῦ τοὺς ἀγορανόμους. λέγει δὲ τοὺς ἱμάντας, οὓς ἀγορανόμους ἤδη κατέστησεν ἄνω [724].

970. εἴσειμ' ὑπαὶ πτερύγων : Ἀντὶ τοῦ μετὰ (πτερύγων καὶ κιχλῶν καὶ κοψίχων. ὁ δὲ τρόπος ποιητικός. μιμεῖται δὲ τὸ μέλος.)

971. (εἶδες ὦ : Ὑφ' ὃ κορωνίς, ὑποχωρησάντων τῶν ὑποκριτῶν. καὶ ἔστι συζυγία κατὰ περικοπὴν ἀνομοιομερής, φαντασίαν παρέχουσα ἐπιρρήματος, ὅτι τὰς στιχικὰς περιόδους οὐκ ἔχει ἐκ τοῦ αὐτοῦ στίχου. ἀλλ' οὐδ' εἰσὶ παρεισβατικαὶ πρὸς τὸ θέατρον, αἱ μὲν προηγητικαί, καὶ αὐτοῖς περίοδοί εἰσιν ἑπτά, κῶλα παιωνικὰ ἐκ μονομέτρου καὶ τετραμέτρου δὶς κἀκ τριῶν μέτρων. διεμπολᾶν δὲ τὸ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν.)

974. ὧν τὰ μὲν ἐν οἰκίᾳ : Τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ ἀνθηρὰ κατὰ τοὺς οἴκους ἀνατρέφομεν, τὰ δὲ μὴ ἀνθηρὰ ἐσθίομεν. (Ἄλλως. ἀντὶ τοῦ τῶν ὀρνέων τὰ μὲν ἐάσει νέμεσθαι ἐν τῇ οἰκίᾳ, τὰ δὲ νέμεται.) ἔπαιξε δὲ εἰπὼν παρὰ προσδοκίαν τὰ χλιαρά.

975. χλιαρά : Ἔνθερμα. *Vict.*

976. τῷδε : Τῷ Δικαιοπόλιδι. R.

977. (οὐδέποτ' ἐγὼ πόλεμον : Ἐσωματοποίησε τὸν πόλεμον. διὸ ἔφη, οὐχ ὑποδέξομαι αὐτόν, ὡσανεὶ ἄνθρωπόν τινα. αἱ δὲ ἀκολουθητικαὶ περίοδοι εἰσὶ δεκάκωλοι ἐξ ἐννέα παιωνικῶν τετραμέτρων, καὶ ἑνὸς τετραμέτρου τροχαϊκοῦ καταληκτικοῦ.)

980. τὸν Ἁρμόδιον ᾄσεται : Ἐν ταῖς τῶν πότων συνόδοις ᾖδόν τι μέλος Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχὴ « φίλταθ' Ἁρμόδι', οὔ τί που τέθνηκας. » ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθῃρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. (ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου λεγόμενον, τὸ δὲ Τελαμῶνος. ὁ δὲ λόγος, οὐδέποτε παρ' ἐμοὶ ἑστιαθήσεται ὁ πόλεμος. παροίνιος δὲ μέθυσος καὶ ὑβριστής, δηλονότι ὁ πόλεμος.)

982. ἐπὶ πάντ' ἀγάθ' ἔχοντας : Ἐφ' ἡμᾶς τοὺς γεωργοὺς (ἐπικωμάσας. ἀντὶ τοῦ μετὰ φθορᾶς εἰσπεσών).

984. προσέτι πολλά : Ἐν τῷ πίνειν (πολλὰ ἐμοῦ προκαλουμένου αὐτὸν καὶ) λέγοντος, πῖνε κἀνάκεισο ἥσυχος, οὐκ ἠνέσχετο, ἀλλὰ καὶ μᾶλλον τὰ πράγματα συνέτριψε καὶ ἠφάνιζε τὰς χάρακας καὶ τὸν οἶνον ἐκ τῶν ἀμπέλων. φιλοτησίαν δὲ ἔλεγον τὴν φιάλην τὴν διδομένην ἐν τοῖς συμποσίοις.

986. (χάρακας : Τοὺς πεπηγότας καλάμους ἐν τοῖς ἀμπέλοις ἔκαιεν, ἤγουν τὰς ἀμπέλους ἀπὸ μέρους.)

987. (ἐξέχει θ' ὑμῶν βίᾳ : Ὡς ἐπὶ πολέμου. ἔδει δὲ ἐκ τῶν πίθων εἰπεῖν, οὐκ ἐκ τῶν ἀμπέλων.)

988. τὰ δ' ἐπὶ τὸ δεῖπνον : Ἐπείγει, σπεύδει. R. πρὸς τὸ ἄνω ἀπέδωκε περὶ τοῦ Δικαιοπόλιδος. τὰ γὰρ διὰ μέσου περὶ τοῦ πολέμου εἴρηται. ὁ δὲ λόγος, Δικαιόπολις σπουδάζει περὶ τὸ δεῖπνον.

989. δεῖγμα : Οἷον τῆς παρ' αὐτῷ ἔνδον τρυφῆς σημεῖον καὶ ἀπόδειξις πρόκειται τῶν θυρῶν αὐτοῦ τὰ τῶν ὀρνίθων πτερά, ἃ τιλθέντων καὶ τυθέντων πρὸς εὐωχίαν προέβαλεν.

989. ὦ Κύπριδι : Ἀντὶ τοῦ ὦ εἰρήνη. καλῶς δὲ ἡ εἰρήνη τῇ Ἀφροδίτῃ καὶ ταῖς Χάρισι φίλη, ὅτι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται, καὶ ὅτι ἡδίστη καὶ ἐπιχαρής ἐστιν.

990. (ὡς καλὸν ἔχουσα : Σωματοποιεῖ τὴν εἰρήνην, καὶ κάλλος αὐτῇ περιτίθησι, καὶ ἔρωτα αὐτῆς ἔχειν βούλεται.

ἐλάνθανες : Ἐμὲ δηλονότι ὦ εἰρήνη.)

992. ὥσπερ ὁ γεγραμμένος : Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἐν ταῖς Ἀθήναις ἔγραψεν Ἔρωτα ὡραιότατον, ἐστεμμένον ῥόδοις. ὁ οὖν νοῦς δι' ὑπερβατοῦ· ἐλάνθανές με οὕτως εὐειδὴς οὖσα, ὡς ὁ γεγραμμένος Ἔρως. ἀνθέμων ἀντὶ τοῦ ῥόδων.

993. ἦ πάνυ γερόντιον : Εἰ καὶ γέροντά με δοκεῖς ὁρᾶν, ὅμως λαβών σε, ἰσχύσω συγγενέσθαι σοι τρὶς (καὶ πολλάκις. παίζει δὲ ἑξῆς).

995. ἀμπελίδος ὄρχον : Ἀντὶ τοῦ εἰπεῖν σχῆμα συνουσίας τοῦτο ἔφη ὡς γεωργός. παρὰ δὲ τὸν ὄρχατον φυτεῦσαι μοσχεύματα σύκων. οὕτως δὲ καλοῦνται αἱ νέαι συκαῖ. μοσχίδια δὲ τὰ νέα βλαστήματα, καὶ ἡ ἁπαλὴ καὶ νέα λύγος μόσχος. Ὅμηρος [Il. Λ, 105] « δίδη « μόσχοισι λύγοισιν. » (ὄρχον δὲ οἷον ὄρχατον. κωμικῶς,

ὡς φιλογέωργος ἀλληγορεῖ ὡς ἐπὶ συνουσίας. ἐμφαντικῶς κατὰ γεωργίαν τὸ μακρόν. ὄρχος δὲ καὶ ὄρχατος στίχος ἀμπέλων, ἢ ἑτέρων φυτῶν· παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν.)

997. (ἡμερίδος κλάδου : Ἡμερὶς ἡ ἄμπελος, ὥς φησιν Ὅμηρος [Od. E, 69] « ἡμερὶς ἡβώωσα. » εἴρηται δὲ διὰ τὸ ἡμερῶσαι τὸ τῶν ἀνθρώπων φῦλον.)

1000. εἰσίασιν οἱ ὑποκριταί. R.

1002. ἀσκὸν Κτησιφῶντος : Ὡς παχὺς καὶ προγάστωρ ὁ Κτησιφῶν σκώπτεται. — ἐν ταῖς Χοαῖς ἀγὼν ἦν περὶ τοῦ ἐκπιεῖν τινὰ πρῶτον χοᾶ, καὶ ὁ πιὼν ἐστέφετο φυλλίνῳ στεφάνῳ καὶ ἀσκὸν οἴνου ἐλάμβανεν. πρὸς σάλπιγγος δ' ἔπινον. R. (ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν Χοῶν ἑορτῇ, ἐφ' οὗ τοὺς πίνοντας πρὸς ἀγῶνα ἑστάναι, τὸν πρῶτον πιόντα δὲ ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δὲ μέτρον τι οἷον χοᾶ.)

1004. (τοῦ κήρυκος οὐκ ἀκούετε : Καλοῦντος εἰς τὴν τῶν Χοῶν ἑορτὴν πάντας. ἐκάλουν δὲ οἱ κήρυκες σάλπιγγας βαστάζοντες καὶ ἐσήμαινον.)

1005. ἀναβράττετε : Ἀναστρέψατε τὰ ὀπτώμενα κρέα καὶ τὰ ὀπτηθέντα ἐξέλκετε.

1007. ἀναπείρω : Πήξω, κεντήσω. *Vict.*

1008. ζηλῶ σε τῆς εὐβουλίας : Θαυμάζω τὴν σὴν εὐβουλίαν, ὦ Δικαιόπολι. (διπλῆ δὲ καὶ περίοδος ἑπτάκωλος ἀμοιβαία. ἧς τὸ πρῶτον ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα καταληκτικὰ δύο, καὶ ἐν εἰσθέσει κῶλα δ'. καὶ ἐν εἰσθέσει κῶλον ἓν ὅμοιον τῷ πρώτῳ καὶ πέντε ἐν παρεκθέσει ἰαμβικὰ ἐφθημιμερῆ. ἐξ ὧν ἀμφοτέρων γίνονται στίχοι ὅμοιοι τοῖς δύο ἕξ. ἐν εἰσθέσει δὲ κῶλον ὅμοιον τῷ πρώτῳ. ἑπτὰ στίχοι ὁμοίως ἰαμβικοὶ τετράμετροι καταληκτικοί.)

1014. ὑποσκάλευε : Ἀναφύσα, ζωπύρει. R. ἀνάστρεφε, κίνει. *Vict.*

1018. οἴμοι τάλας : Ἔρχεται ἀνὴρ Ἀθηναῖος, γεωργός, ἀπολέσας αὐτοῦ τὰς βόας, ληφθείσας ὑπὸ τῶν Βοιωτῶν, δεόμενος τοῦ Δικαιοπόλιδος λαβεῖν τῆς εἰρήνης πρὸς πέντε ἔτη.

τὰ πρόσωπα Δερκέτης γεωργὸς Φυλάσιος. R.

1019. κατὰ σεαυτὸν νῦν τρέπου : Ἀντὶ τοῦ, ἐν σεαυτῷ ἔχε τὴν κακοδαιμονίαν, μὴ ἐπιμίγνυσο ἡμῖν κακοδαιμονῶν.

1020. σπονδαὶ γάρ εἰσί μοι μόνῳ : Ἐπεὶ αὐτὸς ἐσπείσατο πρὸς Λακεδαιμονίους.

1021. (κἂν πέντ' ἔτη : Ἀντὶ τοῦ εἰς πέντε ἔτη. τὸ δὲ) μέτρησον ἀντὶ τοῦ δάνεισον. καὶ Ἡσίοδος [Op. 347]

εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι.

καὶ Θεόπομπος Καπήλισιν

ἢ μετάδος, ἢ μέτρησον, ἢ τιμὴν λάβε.

1022. συνετρίβην, ἀπωλόμην. R.

1023. ἀπὸ Φυλῆς : Ὄνομα δήμου. καὶ Μένανδρος Δυσκόλῳ

« τῆς Ἀττικῆς νομίζετ' εἶναι τὸν τόπον
Φυλήν. »

1024. λευκὸν ἀμπέχῃ : Ἀντὶ τοῦ λευχειμονεῖς. οἱ γὰρ Φυλάσιοι λευκὰ ἐφόρουν. (καὶ ταῦτα μέντοι) καὶ οὗτοι, φησίν, ἦσαν, οἵπερ με ἔτρεφον καὶ ἐποίουν τρυφᾶν βόες.

1026. βολίτοις : Βόλιτον οἱ Ἀττικοὶ οὕτως ἔλεγον χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον. λέγει δὲ ἀντὶ τοῦ ἐν πάσῃ τρυφῇ, ἐν πᾶσιν ἀγαθοῖς. βολίτοις δέ, ὅτι περὶ βοῶν ὁ λόγος (αὐτῷ. Ἄλλως. δέον εἰπεῖν ἐν πᾶσιν ἀγαθοῖς, βολίτοις εἶπε παρ' ὑπόνοιαν παίζων. ἢ ἐπειδὴ διὰ τῆς κόπρου τὰ σπέρματα θάλλειν ποιοῦσιν οἱ γεωργοὶ καὶ καρπὸν πλεῖστον ποιεῖν, ἐξ οὗ τρέφονται, τοῦτο εἴρηκε.)

1027. ἀπόλωλα τὼ 'φθαλμώ : Ἀπώλεσά μου τοὺς ὀφθαλμούς, κλαίων καὶ ὀδυρόμενος τοὺς βόας.

1029. ὑπάλειψον : Ἀντὶ τοῦ ἔγχρισον τοὺς ὀφθαλμούς μου ταχέως.

1030. οὐ δημοσιεύων τυγχάνω : Οἱ δημοσίᾳ χειροτονούμενοι ἰατροὶ καὶ δημόσιοι προῖκα ἐθεράπευον. (φησὶν οὖν καὶ οὗτος ὅτι οὐ τῶν δημοσιευθέντων ἰατρῶν τυγχάνω.) οἷον οὖν οὐ κοινῇ ἐσπεισάμην, τουτέστι σὺν τῇ πόλει· ἰδίᾳ δὲ καὶ ἐμαυτῷ μόνῳ.

1031. ἴθ' ἀντιβολῶ : Ἱκετεύω· δός μοι τῆς εἰρήνης, ὅπως ἀπολάβω τοὺς βόας.

1032. πρὸς Πιττάλου : Ὁ Πίτταλος οὗτος ἰατρὸς παρὰ Ἀθηναίοις. λείπει δὲ τὸ μαθητάς. τοῦτο δὲ ἔφη, ἐπειδὴ ἐκεῖνος εἶπεν ὑπάλειψον τοὺς ὀφθαλμούς. ὡσεὶ ἔλεγεν, ἄπελθε, ἐγχρίου παρὰ Πιττάλου.

1034. εἰς τὸν καλαμίσκον : Τὸν χαλκοῦν ἢ ἀργυροῦν, οἵους ἔχουσιν οἱ ἰατροί.

1035. στριβιλικίγξ : Ἀντὶ τοῦ οὐδὲ ῥανίδα. στρίβος δὲ καλεῖται ἡ λεπτὴ καὶ ὀξεῖα βοή. λίκιγξ δὲ ἡ ἐλαχίστη βοὴ τοῦ ὀρνέου. ἡ μὲν λέξις ἐκ τούτων γεγένηται. λέγει δὲ ὅτι οὐδὲ ἐλάχιστόν σοι μέρος μεταδίδωμι. — τοῖν γεωργοῖν δέ, τοῖν τὴν γῆν ἐργαζομένοιν.

1037. (ἀνὴρ ἀνεύρηκε : Διπλαῖ. αὕτη γάρ ἐστιν ἡ περίοδος ὁμοίως τῇ ἀνωτέρᾳ ἑπτάκωλος ἀντιστρέφουσα.)

1039. μεταδώσειν : Τῶν σπονδῶν δηλονότι. στάθευε δὲ ὄπτα.

1040. χορδὴ καλεῖται τὸ παχὺ ἔντερον τοῦ προβάτου. R.

1042. ὀρθιασμάτων : Ἀνατάσεως ῥημάτων, τῶν μετὰ βοῆς κόμπων, ἢ τῶν μελῶν, παρόσον ὄρθιος νόμος κιθαρῳδικός.

1043. τὰ 'γχέλεια : Ἢ λείπει τὰ κρέα, ἵν' ᾖ τὰ ἐγχέλεια κρέα, ἢ λέγει τὰς ἐγχέλεις. (1046) λάσκων δέ, φωνῶν, βοῶν. — (1045) παρόσον ἡ κνῖσα τῶν ὀπτωμένων τοῖς γείτοσι * * R.

1047. ξανθίζετε : Οἷον τῷ μέλιτι χροΐζετε. ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. ἡ δὲ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστίν, ὅταν πυρρὰ ᾖ.

1048. Δικαιόπολι : Ἔρχεται ἀνήρ τις παράνυμφος βαστάζων κρέα τῷ Δικαιοπόλιδι παρά τινος νυμφίου, καὶ αἰτεῖ αὐτὸν λαβεῖν ἐν βησίῳ μικρὸν τῆς εἰρήνης,

ὅπως μὴ ἐξέρχοιτο εἰς πόλεμον ὁ νυμφίος, ἀλλὰ μένοι τερπόμενος σὺν τῇ γυναικὶ αὐτοῦ.

1051. ἐγχέαι : Ἐπιχεῖν, ἐπιβαλεῖν· (τῶν κρεῶν δὲ ὧν ἔπεμψέ σοι.) ἐς τὸν ἀλάβαστρον δὲ, εἰς τὴν μυροθήκην. ἔστι δὲ λήκυθος ἡ ὦτα μὴ ἔχουσα, ἧς οὐκ ἔστι λαβέσθαι.

1053. εἰρήνης ἕνα : Ὡσεὶ ἔλεγε κοχλιάριον ἕν.

1055. ὡς οὐκ ἂν ἐγχέαιμι : Παραιτεῖται ὁ Δικαιόπολις μεταδοῦναι τῆς εἰρήνης. — χιλιῶν περισπῶσιν Ἀττικοί. γρ. καὶ χιλίων. R.

1056. ἡ νυμφεύτρια : Ἔρχεται νυμφεύτρια δεομένη Δικαιοπόλιδος, καὶ λέγουσα ὅτι ἔπεμψέ μέ τις νύμφη δεηθῆναί σου πρὸς τὸ λαβεῖν τῆς εἰρήνης, ὅπως ἀλείφῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς αὐτῆς, καὶ μὴ ἐξέρχοιτο εἰς πόλεμον. κωφὸν δὲ εἰσάγεται τὸ πρόσωπον τῆς νυμφευτρίας.

1058. (φέρε δὴ τί σὺ λέγεις : Παραθεὶς τὸ οὖς ἤκουσεν ὁ Δικαιόπολις τῆς νυμφευτρίας.)

ὡς γελοῖον : Τοῦτό φησιν ὡς ἀκούσας πρὸς τὸ οὖς. R. (κράζων καὶ ἀστειευόμενος ὁ Δικαιόπολις ἐφ' οἷς ἤκουσε παρὰ τῆς νυμφευτρίας λέγει τὸ, ὡς γελοῖον ὦ θεοὶ τὸ δέημα τῆς νύμφης. τὸ δὲ δέημα αὐτῆς ἦν, μικρὸν τῆς εἰρήνης λαβεῖν, ὅπως ἀλείφοι ταύτῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς κατὰ τὰς νύκτας, καὶ μὴ ἐς πόλεμον ἐξέρχοιτο.)

1060. ὅπως ἂν οἰκουρῇ τὸ πέος : Ἀντὶ τοῦ εἰπεῖν τὴν οἰκίαν τὸ πέος ἔφη.

1063. (ὕπεχ' ὧδε δεῦρο : Πρόφερε τὸ ἀλάβαστρον, φησίν, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες, τὴν τοῦ μύρου λήκυθον. κατ' ἐρώτησιν δὲ τοῦτο (1064) ἀναγνωστέον. τὸ δὲ ἑξῆς ὡς συμβουλεύοντος καὶ ὑποτιθεμένου πῶς αὐτῷ δεῖ χρήσασθαι.)

1065. καταλέγωσι τουτωΐ : Τῷ ἀλείμματι. λέγει δὲ τῇ εἰρήνῃ. τὸ δὲ καταλέγωσιν ἀντὶ τοῦ κατατάττωσιν.

1067. οἰνήρυσιν : Τὴν τοῦ οἴνου κοτύλην, ᾗ ἀρύονται.

1069. τὰς ὀφρῦς ἀνεσπακώς : Ἐσκυθρωπακώς.

1071. ἰὼ πόνοι τε : Ἔρχεταί τις καλῶν εἰς πόλεμον τὸν Λάμαχον.

1071. ἀμφιχαλκοφάλαρα : Ἀντὶ τοῦ πολύχαλκα. τραγικώτερον (δὲ) λέγει (διὰ τὸ μεγαλορρῆμον τοῦ Λαμάχου).

1074. (λόχους : Ἔνιοι μὲν τὸ ἐξ ἀνδρῶν ὀκτὼ σύστημα, οἱ δὲ τὸ ἐξ ἀνδρῶν δώδεκα, οἱ δὲ τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος, ὃ καὶ τέλειόν φασι καὶ σύμμετρον. καὶ λοχαγός, προστάτης, καὶ ἡγεμὼν ὁ αὐτός ἐστι, πρῶτος καὶ ἄριστος τοῦ λόχου. παρὰ δὲ Λακεδαιμονίοις ὑπῆρχον τέσσαρες λόχοι, οἷς ἐκέχρητο ὁ βασιλεύς, ὡς ἀλλαχοῦ [Lys. 452] Ἀριστοφάνης « γνώσεσθ' ὅτι καὶ παρ' ἡμῖν εἰσι λόχοι τέσσαρες μαχίμων ἀνδρῶν ἔνδον ἐξωπλισμένων ». καὶ καταλοχίσαι τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ. λόφους δὲ περικεφαλαίας. λόφος γὰρ καὶ τὸ περικεφαλαίας ἄκρον, καὶ γῆς ἀνάστημα.)

1075. τὰς εἰσβολάς : Τὰς εἰσόδους τῶν πολεμίων στρατῶν. νιφόμενον δὲ ὡς χειμῶνος ὄντος.

1076. ὑπὸ τοῦ χάους γάρ : Θεόπομπος τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἑψῆσαί φησι χύτραν πανσπερμίας· ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν· καὶ θύειν τοῖς Χουσὶν Ἑρμῇ χθονίῳ· τῆς δὲ χύτρας οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας, ἱλασκομένους τὸν Ἑρμῆν καὶ περὶ τῶν ἀποθανόντων. (ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα, ὡς Φιλόχορος. Ἄλλως.) ἐν μιᾷ ἡμέρᾳ ἄγονται οἵ τε Χύτροι καὶ οἱ Χόες ἐν Ἀθήναις, ἐν ᾧ πᾶν σπέρμα εἰς χύτραν ἑψήσαντες θύουσι μόνῳ τῷ Διονύσῳ καὶ Ἑρμῇ. οὕτω Δίδυμος.

1077. ἐμβαλεῖν Βοιωτίους : Πολέμιοι γὰρ ἦσαν οἱ Βοιωτοί. (ἐν τοῖς ἄνω οὖν ὁ Δερκέτης ἔφη ὅτι Βοιωτοί τινες ἀφείλοντό μου τὸ ζεῦγος τῶν βοῶν.)

1079. οὐ δεινὰ μὴ 'ξεῖναί με : Ὁ Δικαιόπολις, οὐ δεινόν, φησί, μὴ ἐξουσίαν ἔχειν με ἑορτάσαι. (ἴσως διὰ τὸν τῶν στρατιωτῶν θόρυβον.)

1080. (πολεμολαμαχαϊκόν : Ἔμφασιν ἔχει, ὡσεὶ ἔφη, ξενικὸν ἢ Κορινθιακόν.)

1081. καταγελᾷς ἤδη σύ μου : Διὰ τὸ εἰπεῖν πολεμολαμαχαϊκόν.

1082. βούλει μάχεσθαι Γηρυόνῃ : Ἀντὶ τοῦ τετρακεφάλῳ. αἰνίττεται δὲ εἰς τὴν τοῦ Λαμάχου περικεφαλαίαν (τρεῖς λόφους ἔχουσαν) ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστι. βούλει πρός ἀκαταμάχητόν τινα μάχεσθαι. ὁ γὰρ Γηρυόνης, οὗ ἐμνήσθη, τρικέφαλος ἦν, καὶ πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ. (δείκνυσι δὲ αὐτῷ τι τῶν τετραπτερυλλίδων ἅμα τοῦτο λέγων· ἀντὶ τοῦ εἰπεῖν, Γηρυόνῃ τρισωμάτῳ, τετραπτίλῳ εἶπεν.)

1083. (αἶ αἶ : Τούτων τινὲς τὸ μὲν πρῶτον διὰ τῆς αι διφθόγγου, θρηνητικὸν γάρ· τὸ δὲ δεύτερον ψιλόν, θαυμαστικὸν γάρ.)

οἵαν ἀγγελίαν : Τὸν πόλεμον δηλονότι.

1084. αἶ αἶ, τίνα δ' αὖ μὴ προστρέχει : Ἔρχεται ἄγγελος καλῶν τὸν Δικαιόπολιν ἐπὶ δεῖπνον.

1086. βάδιζε τὴν κίστιν : Τότε γὰρ οἱ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἑψήματα. τὴν κίστην λαβών, τὴν ὀψοθήκην. Ὅμηρος [Od. Ζ, 76; Γ, 480]

μήτηρ δ' ἐν κίστῃ (ἐτίθει μενοεικέ' ἐδωδήν.
ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες.)

χοᾶ δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνῶσιν ἄλλου ποτηρίου, διὰ τὴν ἐπὶ Ὀρέστῃ γενομένην αἰτίαν.

1088. ἐγκόνει : Ἀντὶ τοῦ σπεῦδε. μέλλοντας γὰρ αὐτοὺς δειπνεῖν ἐπέχεις.

1092. (σησαμοῦντες : Ἄλλο σησαμοῦς, καὶ ἄλλο σησάμη. σησαμοῦς μὲν εἶδος πλακοῦντος, σησάμη δὲ ἣν ἡμεῖς καλοῦμεν σησαμίδα. ἰτρία δὲ καπυρώδη πλάσματα.)

1093. ὀρχηστρίδες : Ὑπερβατόν ἐστιν· ὀρχηστρίδες

πάρεισι καλαί, καὶ τὰ φίλτατα τοῦ Ἁρμοδίου. τουτέστι, τὰ εἰς Ἁρμόδιον σκολιὰ ᾄσματα. (ὅπερ ἀνωτέρω ἔφη· Ἁρμοδίου μέλος ᾄσεται.)

1095. ἐπεγράφου τὴν Γοργόνα : Ὅτι ἐζωγράφουν ἐν τῇ ἀσπίδι μεγάλην Γοργόνα.

1097. (τὸν γύλιον : Γυλιός, σπυριδῶδες πλέγμα, ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον.)

1099. θυμίτας : Ἐκ θύμων κατασκευασθέντας. *Vict.*

1101. θρῖον ταρίχους : (Ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται.) σαπροῦ δὲ ἀντὶ τοῦ παλαιοῦ καὶ μὴ νέου. σκεύασμα δέ τι παρὰ Ἀθηναίοις τὸ θρῖον· ὅπερ λαμβάνει ὕειον στέαρ ἢ ἐρίφειον καὶ σεμίδαλιν καὶ γάλα καὶ τὸ λεκιθῶδες τοῦ ᾠοῦ πρὸς τὸ πήγνυσθαι, καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος, καὶ ἑλιττόμενος ἐν φύλλοις συκῆς καὶ ὀπτώμενος.

1102. λείπει τὸ ἰχθύων. R.

1109. τὸ λοφίον : (Ἐὰν μὲν ὑποκοριστικὸν, δηλοῖ) ἐλάττονα τῶν τριῶν λόφων. ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται καὶ δηλοῖ τὴν θήκην τῶν λόφων.

1110. λεκάνιον : Κρατῆρα πεπληρωμένον τῶν λαγῴων κρεῶν. (λεκάνια δὲ καὶ λεκανίδας τὰ μείζονα τῶν ὀξυβάφων καὶ ἐκπέταλα.)

1111. τριχόβρωτες : Σῆτες. θρὶψ, σκώληξ κατεσθίων τὰς τρίχας. (καὶ προπερισπωμένως δὲ λέγεται τριχοβρῶτες.)

1112. ἀλλ' ἢ πρὸ δείπνου : (Κυρίως μὲν μίμαρκις ἡ λαγῴα χορδὴ ἐκ τῶν ἐντέρων. χρῶνται δὲ καὶ ἐπὶ χοίρου. Ἄλλως.) μίμαρκις σκευασία τις τῆς κοιλίας, ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην.

1113 ἄνθρωπε βούλει : Κατ' ἐρώτησιν. δηλοῖ δὲ τὸ ἐν ἔχθρᾳ εἶναι.

1115. κἀπιτρέψαι Λαμάχῳ : Ἐπιτρέψαι, ὥστε κρῖναι. (καὶ Μένανδρος ἐν Ἐπιτροπεῖ « ἐπιτρεπτέον τινί ἐστι περὶ τούτων. » ταῦτα δὲ διαλέγεται πρὸς τὸν οἰκέτην διασύρων καὶ παίζων τὸν Λάμαχον.)

1116. πότερον ἀκρίδες : Διασύρει τὸν Λάμαχον (ὡς) ἀκρίδας ἐσθίοντα. ἢ ὅτι πρότερον εὐτελεῖ ἐχρήσατο διαίτῃ.

1118. καθελὼν μοι τὸ δόρυ : Παρατηρητέον ὅτι ὁ μὲν φιλοπόλεμος ὢν, πάντα τὰ πρὸς τὸν πόλεμον ζητεῖ, ὁ δὲ πρὸς τροφὴν ὡς εἰρήνην ζητῶν.

1119. δεῦρο τὴν χορδὴν : Χορδὴ καλεῖται τὸ παχὺ ἔντερον τοῦ προβάτου.

1120. τοὔλυτρον : Κρατεῖ καὶ ἕλκει τοῦ δόρατος τὴν θήκην. (τὸ ἐντελὲς τὸ ἔλυτρον.)

1121. καὶ σὺ παῖ τοὐδ' ἀντέχου : Τοῦ ὀβελίσκου, ὥστε τὰ ἐμπεπαρμένα κρέα ἢ τὴν χορδὴν ἐφελκύσαι.

1122. τοὺς κιλλίβαντας : Τρισκελῆ ἐστί τινα ξύλα, ἐφ' ὧν τιθέασι τὰς ἀσπίδας διαναπαυόμενοι, ἐπειδὰν κάμωσι πολεμοῦντες.

1123. καὶ τῆς ἐμῆς τοὺς κριβανίτας : (Λείπει γαστρός· ἵν' ᾖ, καὶ τῆς ἐμῆς γαστρὸς τὴν ἀνάπαυσιν ἔκφερε τοὺς κριβανίτας ἄρτους.) ἔπαιξε δὲ χαριέντως ὅτι καὶ οὗτοι περιφερεῖς ὡς αἱ ἀσπίδες.

1124. γοργόνωτον : Περιφραστικῶς τὴν ἀσπίδα. γοργόνωτον δὲ τὴν ἔχουσαν Γοργόνα.

1128. κατάχει σὺ παῖ : Εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος, ἵνα γένηται λαμπροτέρα. (ὁ Λάμαχος δέ ἐστι παρακελευόμενος ἐπὶ τὸ μέρος τὸ χαλκοῦν τῆς ἀσπίδος ἔλαιον καταχυθῆναι, ἵνα στίλβῃ.) εἰσὶ γάρ τινες οἳ ἐν ἐλαίῳ ὁρῶντες μαντεύονται. (οὕτως ὁ Σύμμαχος. σμήχει οὖν τὴν ἀσπίδα, καταχέων τὸ ἔλαιον ἐπὶ τῆς χαλκῆς πτυχός· εἶτα ὡς φαιδρυνθείσης αὐτῆς ἐνοπτριζόμενος πρὸς αὐτὸν λέγει, ὁρῶ ἐν αὐτῇ γέροντα ὑπὸ δειλίας φεύγοντα· οἷον μὴ δυνάμενον ὁρᾶν τὴν ἀσπίδα διὰ τὴν ἔλλαμψιν. Ὅμηρος [Il. N, 340] « ὄσσε δ' ἄμερδε. » ταῦτα δὲ ὡς μαντευόμενος λέγει.)

1131. παίζει παρὰ τὴν γοργόνα. R.

1133. ἔξαιρε παῖ θώρακα : Πρὸς τὴν ὁμωνυμίαν ἔπαιξε. θωρήξασθαι γάρ ἐστι τὸ καθοπλισθῆναι, ἀλλὰ καὶ τὸ πίνειν καὶ τὸ μεθυσθῆναι (οὕτω καλοῦσιν, ἐπειδὴ θώραξ καὶ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θωρήσσειν λέγουσι τὸ μεθύειν, καὶ ἀκροθώρακας τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων. ἔστι δὲ Ἀττική. ἔξελε οὖν, φησὶ, κἀμοὶ τὸν χοᾶ, ὃν καλεῖ θώρακα, ὥστε θωρακισθῆναι, τουτέστι τὸν θώρακα πληρῶσαι.)

1135. οἷον μεθυσθήσομαι. R.

1138. κίστιδος : (Καὶ κίστη καὶ κίστις λέγεται. καὶ διελθὼν τοῦτο τὸ δρᾶμα γνώσῃ.) τὴν ὀψοθήκην. R.

1141. νίφει βαβαιάξ : Ἀντὶ τοῦ ψυχρά. οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες ἐπετηροῦντο τὰς διοσημίας.

1143. ἴτε δὴ χαίροντες : Κορωνὶς καὶ εἴσθεσις εἰς μέλος τοῦ χοροῦ προῳδικὸν, περιόδων τριῶν. ὧν ἐστι πρώτη ἀναπαιστικὴ τριὰς τρισκαιδεκάμετρος ὀκτάκωλος. τέλος δὲ αὐτῆς, « ἀνατριβομένῳ τὲ τὸ δεῖνα, » τουτέστι τὸ αἰδοῖον κατ' εὐφημισμόν.)

1144. ὁ μὲν γὰρ ἐπὶ πόλεμον, ὁ δὲ ἐπὶ δεῖπνον. R.

1145. τῷ Δικαιοπόλιδι. λείπει δὲ τὸ πάρεστιν. ῥιγῶν Ἰωνικῶς ἀντὶ τοῦ ῥιγοῦν. R.

1146. (προφυλάττειν) τὴν ἐμβολήν. R.

1149. τὸ αἰδοῖον λέγει. R.

1150. Ἀντίμαχον : Φασὶ γὰρ αὐτὸν γράψαι ψήφισμα ὥστε τοὺς χοροὺς μηδὲν ἐκ τῶν χορηγῶν λαμβάνειν. τὸν Ψακάδος ἔφη. οἱ μὲν ὅτι οὕτως ἐπεκαλεῖτο διὰ τὸ συνεχῶς πτύειν, ἢ διὰ τὸ μηδὲν ἀναλῶσαι. R. (τὸν συγγραφέα. Ψακὰς δὲ οὗτος ἐκαλεῖτο, ἐπειδὴ προσέρραινε τοὺς συνομιλοῦντας διαλεγόμενος. ἦν δέ τις καὶ Ὀλυμπιακὸς καλούμενος Ψακὰς διὰ τοῦτο. ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι, μὴ δεῖν κωμῳδεῖν ἐξ ὀνόματος. καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον ληψόμενοι τὸν χορὸν, καὶ δῆλον ὅτι πολλοὶ

τῶν χορευτῶν ἐπείνων. ἐχορήγει δὲ ὁ Ἀντίμαχος τότε, ὅτε εἰσήνεγκε τὸ ψήφισμα. οἱ δὲ λέγουσιν ὅτι ποιητὴς ὢν καλὸς χορηγῶν ποτε μικρολόγως τοῖς χορευταῖς ἐχρήσατο.)

1155. ἀπέλυσεν ἄδειπνον : (Ἀπέκλεισε δείπνων.) ἀντὶ τοῦ ἀπεστέρησε τοὺς μισθοὺς, οὐδέν μοι ἐχορήγησε.

1156. τευθίδος : Τευθὶς, πέμμα πλακουντῶδες καὶ εἶδος ἰχθύου θαλασσίου. *Vict.*

1158. σίζουσα : Ἀντὶ τοῦ ζέουσα, (ὡς ἐπὶ τηγανιζομένης), ποιὸν ἦχον ἀποτελοῦσα. καὶ Ὅμηρος [Od. I, 394] « ὣς τοῦ σίζ' ὀφθαλμός. » πάραλος δὲ ἀντὶ τοῦ παραθαλασσία. ἢ ἡ παρὰ τοὺς ἅλας κειμένη. (ἐπεὶ δὲ καὶ ἱερὰ ναῦς τῶν Ἀθηναίων Πάραλος καλεῖται, ἐπήνεγκε τὸ) ὀκέλλοι, ὅ ἐστι προσορμίζοι, ὡς ἐπὶ νεώς.

1164. ἠπιαλῶν γάρ : Ἀντὶ τοῦ ῥιγοπυρέτῳ περιπεσών. (ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός. ἠπιαλῶν δὲ εἶπε καὶ βαδίζων ἀντὶ τοῦ ἠπιαλοῦντες καὶ βαδίζοντες.) ἀντὶ τοῦ βαδίζοντα κατὰ τὸ ἀρχαῖον σύνηθες, ὡς τὴν ἐρωμένην ἔχων ἀντὶ τοῦ ἔχοντα. R. ἱππασίας δὲ ἀντὶ τοῦ ἱππικῆς, ὡς ὄντος αὐτοῦ ἱππέως. καὶ γὰρ ἕως ἑσπέρας διατρίβουσιν ἐν τῇ δοκιμασίᾳ οἱ ἵπποι.

1167. τῆς κεφαλῆς Ὀρέστης : Ἀττικῶς ἀντὶ τοῦ τὴν κεφαλήν. ὁ δὲ Ὀρέστης οὗτος προσποιούμενος μωρίαν τοὺς παριόντας ἀπέδυεν. ἦν γὰρ λωποδύτης. (ἢ πρὸς τὴν ὁμωνυμίαν ἀντὶ τοῦ ὁ μαινόμενος. πελεθόν δὲ βῶλον.)

1173. βάλοι Κρατῖνον : Παρ' ὑπόνοιαν λέγει Κρατῖνον οὐ τὸν ποιητὴν, ἀλλά τινα ἕτερον ἀλαζόνα καὶ θρασὺν (καὶ μαινόμενον) καὶ μέθυσον. (βάλοι οὖν, φησὶ, τοῦτον, ἵνα πλείοσι κακοῖς περιπέσῃ τυπτόμενος ὑπ' αὐτοῦ.)

1174. (ὦ δμῶες : Κορωνίς. εἰσέρχεται γὰρ ὁ ὑποκριτής. καὶ ἔστιν ἰαμβεῖα τρίμετρα καταληκτικὰ ις'.)

1174. (ὀθόνια : Τὰ λεγόμενα παρὰ ἰατροῖς λυχνώματα.)

1174. (λαμπάδιον : Οἱ μὲν τὸ λεπτὸν ἐρίδιον, οἱ δὲ ἐπιδέσμου εἶδος, οἱ δὲ τὸν νάρθηκα τῶν ἰατρῶν τὸν ναρθηκίζοντα τὸ σφυρόν. οἱ δὲ τὰ ἔμμοτα. οἰσυπηρὰ δὲ) ῥύπου πεπληρωμένα. οἰσύπη δέ ἐστι τὸ διαχώρημα τῶν προβάτων. R. (λαμπάδιον δὲ καταδέσμου εἶδος. περὶ τὸ σφυρὸν δὲ περὶ τὸ ὀστοῦν τὸ κάτωθεν τοῦ γόνυος. χάραξ δέ ἐστι ξύλον ἐν ᾧ τὰς ἀμπέλους δεσμοῦσιν, ὥστε ἵστασθαι καὶ μὴ πίπτειν εἰς τὴν γῆν.)

1179. παλίνορον ἐξεκόκκισεν : (Ἐκτραπὲν τῆς ἁρμονίας ἤχησεν.) παλινόρμητον. (ἐξεκόκκισεν) ἀντὶ τοῦ ἐξέβαλεν, ἐξέκλασεν. ἡ μεταφορὰ ἀπὸ τῶν κόκκων. θέλει δὲ εἰπεῖν ἔκλασεν τὸν πόδα. R.

1181. καὶ Γοργόν' ἐξήγειρε : (Παρ' ὑπόνοιαν. θέλων γὰρ εἰπεῖν ὅτι ἀπὸ τῆς πληγῆς κονδύλην ἐποίησεν αὐτὸς ὁ Λάμαχος, ἔφη, Γοργόνα ἐξήγειρεν.) ὡσεὶ ἔλεγεν, οἴδημα ἀνέστησεν ἐπὶ τῆς κεφαλῆς.

1182. πτίλον δὲ τὸ μέγα : Ἔπαιξε πλάσας ὄνομα ὄρνιθος· (διὰ τὸ κομπηρὸν τοῦ Λαμάχου. γράφεται δὲ οὕτως· πτίλου δὲ τοῦ μεγάλου πεσόντος ἐς τὰς πέτρας δεινὸν μέλος ἐξηύδα ὁ Λάμαχος. ἢ πεσὼν πρὸς ταῖς πέτραις ἐθρήνει τὸ μέγα πτίλον. Ἄλλως. πτίλον μέγα λέγει τὴν περικεφαλαίαν αὐτοῦ, ἀπὸ τοῦ ἐν αὐτῇ πτεροῦ. οὐ γὰρ τὸ πτερὸν πεσὸν εἰς πέτραν ἤχησεν, ἀλλὰ τὸ κράνος ἐκ χαλκοῦ κατεσκευασμένον. ὑδρορρόαν δὲ ὕφαλον πέτραν, ἢ τὸ μέρος τῆς στεφανίδος, δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. ἢ ὁ στενὸς τόπος. λέγεται δὲ καὶ ὑδρόρροια, ὡς τὸ « οἱ δὲ εἰς τὰς « ὑδρορρόας συνωθοῦντες αὐτοὺς, διὰ τούτων ἐσώζοντο « εἰς τὰς ναῦς. »)

1188. κατασπέρχων : Σπέρχειν, σπεύδειν, χαλεπαίνειν, θυμοῦσθαι, ἀπειλεῖν, ταράσσεσθαι. *Vict.*

1190. ἀτταπαττᾶ : Θρηνῶν παρατραγῳδεῖ. κατεγχάνοι δὲ καταγελάσοι. (παρατηρητέον δὲ ὅτι ἀντιτίθησιν αὖθις ὁ μὲν τὰ ἐκ τοῦ πολέμου δεινὰ, ἅπερ ἔπαθεν, ὁ δὲ ἅπερ ἔχει ἐν εἰρήνῃ χαρμόσυνα.)

1199. κυδώνια : ὡσεὶ ἔλεγε μῆλα, ὅτι παρὰ τὰ ἄλλα σκληρότερά ἐστιν. R. Victor.

1200. ὦ χρυσίω : Πρὸς τὰς δύο πόρνας λέγει.

1201. τὸ περιπεταστὸν κἀπιμανδαλωτόν : Εἴδη φιλημάτων ἐρωτικῶν, ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλούντων λείχειν. Ἄλλως. μανδαλωτὸν, εἶδος φιλήματος ποικίλον καὶ ἡδὺ, θηλυδριῶδες, καὶ κατεγλωττισμένον.)

1206. ἱππικὲ Λάμαχε. R.

1208. τί με σὺ κυνεῖς : Ἔνιοι ἓν βούλονται εἶναι, ἵνα ᾖ ὁ Λάμαχος λέγων πρὸς τὸν Δικαιόπολιν τὸ, τί με σὺ κυνεῖς, τί με σὺ δάκνεις· ἵνα ᾖ τὸ κινεῖν ἀντὶ τοῦ σαίνειν. ὡσεὶ ἔλεγε, τί μου καταπαίζεις καὶ λυπεῖς με, ὦ Δικαιόπολι.

1210. (τάλας ἐγώ : Διπλῆ περίοδος δεκάκωλος, ἧς τὸ πρῶτον ὅμοιον τῷ πρὸ αὐτοῦ, δίμετρον ἀκατάληκτον. τὸ τρίτον ἰαμβικὸν ἐν εἰσθέσει. τὸ τέταρτον ἐν εἰσθέσει ἰαμβικὸν ἡμιόλιον. τὸ πέμπτον ἰαμβικὸς στίχος.)

1211. τοῖς Χουσὶ γάρ τις : Ἐπεὶ ὁ Λάμαχος εἶπε, ξυμβολῆς βαρείας, ἐπήνεγκεν ὁ Δικαιόπολις συμβολὰς, παίζων πρὸς τὴν ὁμωνυμίαν (τὸ ἐπὶ τὸ δεῖπνον λεγόμενον. λέγεται γὰρ συμβολὴ καὶ ἐπὶ δείπνου τοῦ ἐκ κοινοῦ ἐπιτελουμένου· οὓς ἐράνους Ὅμηρος [Od. A, 226] φησίν,

εἰλαπίνη ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.)

1213. ἀλλ' οὐχὶ νυνὶ τήμερον : Ἑορτὴ Ἀθήνησι. ἐπεὶ ἐκεῖνος Παιῶνα καλεῖ, ἔπαιξεν ὁ Δικαιόπολις καὶ φησὶν ὅτι οὐκ ἔστι σήμερον τὰ Παιώνια. R. (οὐκ ἔστι σοι σήμερον ἡμέρα παιωνία καὶ ὑγιεινή. ἕκαστον δὲ ὧν ὁ Λάμαχος λέγει, τρέπει οὗτος εἰς παιδιάν. Παιᾶνα, φησὶν, ἐπικαλῇ, ὥσπερ οὐκ εἰδὼς ὅτι σήμερον οὐκ ἔστι Παιώνια. ἔστι δὲ ἑορτὴ Ἀθήνησιν, Ἀπόλλωνι ἴσως ἀνακειμένη. καὶ παιώνιον ἰατρεῖον, θεραπευτήριον, ἢ σωτήριον φάρμακον. καὶ παιωνίοις τισὶ φαρμάκοις, σωτηρίοις, ἰατρευτικοῖς, θεραπευτικοῖς καὶ παρακατιὼν ἐρεῖ, (1223), « παιωνίαισι χερσί. »)

1214. λάβεσθέ μου λάβεσθε : Πρὸς τὰς πόρνας φησί. R. (διπλῆ καὶ δυάδες τρεῖς, δικώλους ἔχουσαι τὰς περιόδους, ἐξ ἰάμβου τριμέτρου ἀκαταλήκτου ἐκκειμέ-

νου. τῆς μὲν οὖν πρώτης δυάδος τὸ πρῶτον παιωνικὸν δίρρυθμον, τὸ προσλάβεσθ' ὦ φίλαι.)

1218. (ἰλιγγιῶ : Ὅταν περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ σκότος, καὶ τοῦτο καλοῦσι τὸ πάθος ἴλιγγον.)

1223. παιωνίαισι : Ταῖς ὑγιειναῖς. *Vict.* ταῖς θεραπευτικαῖς. *R. Vict.*

1224. ποῦ ἐστιν ὁ βασιλεύς : Δηλοῖ ὡς ἄρα τὴν ἐπιμέλειαν ὁ βασιλεὺς εἶχε (τῆς ἁμίλλης τοῦ χοὸς,) καὶ τὸ ἆθλον ἐδίδου τῷ νικήσαντι, τὸν ἀσκόν. ὁ δὲ βασιλεὺς ἀρχή τις ἐστιν. ἦν δὲ καὶ τῶν μυστηρίων ἐπιμελητὴς τῶν πομπῶν καὶ τῶν θυσιῶν δὲ ἦρχεν.

1225. ἀπόδοτέ μοι τὸν ἀσκόν : Ὡς νικήσας τὸν ἆθλον αἰτεῖ τὸν ἀσκόν. R. Vict. τὸν ἀσκὸν δείκνυσι. R.

1226. ὀδύρτα : (Κατὰ ἐναλλαγὴν τοῦ σ Ὀδύρσα, τουτέστι) Θρᾳκική. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι, (τουτέστι θρῆνον ἐμποιοῦσα καὶ ὀδυρμόν).

1228. (ὦ πρέσβυ : Ἑαυτὸν γὰρ ὑπετίθετο πρέσβυν, πρὸς τὴν γυναῖκα διαλεγόμενος ἐν ἀρχῇ τοῦ δράματος)

1229. ἄμυστιν : (Τὴν ἀθρόαν πόσιν οὕτως ἔλεγον. ἔστι δὲ εἶδος ποτηρίου φιαλώδους. Ἄλλως.) οἷον ὁμοῦ καὶ ἀθρόως ἔπινον. (ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπιεῖν, ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου.)

1230. τήνελλα : Μίμημα ἐπιφθέγματος αὐλοῦ τὸ τήνελλα. Ἀρχίλοχος « τήνελλα, ὦ καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες, αὐτός τε κἰόλαος, αἰχμητὰ δύο. » — ἐν εἰσθέσει ἴαμβοι δίμετροι ἀκατάληκτοι. *Vict.*

1232. (ἀλλ' ἑψόμεσθα σὴν χάριν : Λείπει ἡ εἰς πρόθεσις, ἵν' ᾖ εἰς σὴν χάριν.)